Schol. Sophocl. Ai. 105 et Suidas δεσμώτης· καὶ αὐτὸς ὁ δέσμιος, ὡς ὁ δεσμώτης Προμηθεύς· καὶ ὁ δεσμῶν, ὡς Κρατῖνος ἐν Πυτίνῃ ἐπὶ τῶν δεσμοφυλάκων. ἐντὸς Meinek.] ἐκτὸς. πολλοῦ χρόνου Suid.] πολλῷ χρόνῳ Schol. παρὰ Schol.] πρὸς Suid. δεσμώταισι Suid.] δεσμώτησι Schol. καταπιττουμένην] καταπιπτουμένην Suid. V et Schol. L. — Hesych. πυτίνη· ἔπλεκον δὲ ταύτας ὡς ἐπὶ τὸ πολὺ οἱ δεσμῶται, καὶ σπυρίδας καὶ τὰ τοιαῦτα. καταπιττουμένην perperam de stupratione interpretabatur Hemsterhusius Aristoph. Plut. p. 413 Lips. recte Meinekius: '*brevi lagenam apud publici carceris custodes pice oblini videbis.*' videtur uxor Cratino lagenam furtim abstulisse quaerentemque maritum consolari refici eam dicens apud carceris custodes.

190

ἄρ' ἀραχνίων μεστὴν ἔχεις τὴν γαστέρα.

Suidas ἀράχνη· Κρατῖνος Πυτίνῃ. ἄρ' addidit Meinekius. Catull. 13, 8 *tui Catulli plenus sacculus est aranearum. venter lagenae* est apud Iuven. 12, 60 (Mein.). Cratini verba sunt lagenam, quam occultam ablatamve ab uxore tandem reppererat, vacuam conspicientis. ἄρα ut Aesch. Prom. 735. Xen. Mem. 3, 6, 4. 3, 10, 1 et saepissime. moneo hoc propter Herwerd. Obs. crit. 6.

191

ἀλλ' οὐδὲ λάχανον οὐδὲν οὐδ' ὀστοῦν ἔτι
ὁρῶ.

Herodian. II 943, 20 Lentz. οὐκ ἀγνοῶ δὲ ὡς καὶ ὀστοῦν λέγεται, ὡς καὶ παρὰ Κρατίνῳ ἐν Πυτίνῃ. οὐδὲν Dind.] οὐδὲ. ἔτι Dind.] ἔστι.

192

ὡς λεπτός, ἦ δ' ὅς, ἔσθ' ὁ τῆς χορδῆς τόμος.

Athenaeus 3, 94 f *Κρατῖνος ἐν Πυτίνῃ.*

193

τοὺς μὲν ἐκ προχοιδίου,
τοὺς δ' ἐκ καδίσκου.

Pollux 10, 70 *ἀμφορεῖς καὶ ἀμφορίσκους καὶ κάδους καὶ καδίσκους . . . Κρατῖνος ἐν Πυτίνῃ.* Strattid. 22 contulit Meinekius.

194

ἀπὸ ποτέρου τὸν καῦνον ἀριθμήσεις;

Etymol. m. 267, 19 *καῦνος γὰρ λέγεται ὁ κλῆρος. Κρατῖνος Πυτίνῃ ἀπὸ προτέρου τὸν καῦνον ἀριθμήσεις. καὶ ἐγώ, ὡς Καυνίων μάλιστα χρωμένων.* Schol. Arist. Pac. 1081 *διακαυνιάσαι· καὶ Κρατῖνος Πυτίνῃ ἀπὸ προτέρου τὸν καῦνον ἀριθμήσεις. ἄλλως. ἀντὶ τοῦ κληρωθῆναι, ὡς τῶν Καυνίων μάλιστα χρωμένων.* Phot. *καυνός· σκληρός.* adparet cum Cobeto corrigendum esse *καῦνος· ὁ κλῆρος. ποτέρου* Dind. et Meinek.] *προτέρου.* mihi *ἐγώ* quod in Etymologico verbum *ἀριθμήσεις* sequitur poetae esse et scribendum videtur *εἰπέ, ποτέρου* (*εἴφ' ὁποτ.*) *τ. κ. ἀριθμήσεις;* B. *ἐγώ;* sic enim interrogativum illud *ἐγώ;* responso praemittitur Aristoph. Nub. 723. Av. 125. Ran. 486. 752. 1472. Eccl. 372. 930. cf. Pac. 187. Av. 107.

195

ληρεῖς ἔχων· γελοῖος ἔσται Κλεισθένης κυβεύων
ἐν τῇδε τῇ κάλλους ἀκμῇ.

Schol. Arist. Nub. 355 *οὗτος δὲ (Κλεισθένης) ἐπὶ κιναιδίᾳ διαβάλλεται. τοῦτον δὲ ὡς γυναικιζόμενον οὐκ Ἀριστοφάνης διαβάλλει μόνον, ἀλλὰ καὶ Κρατῖνος ἐν Πυτίνῃ λέγων οὕτως κτλ.* eadem fere Suidas *Κλεισθένους ἀκρατέστερος* (fabulae nomine omisso). post *ληρεῖς ἔχων* Schol. addit *γράφ' αὐτὸς ἐν ἐπεισοδίῳ.* Suidas *γράφων αὔτ'* (*αὐτὸν* A) *ἐν ἐπεισοδίῳ. Κλεισθένης*] *Κλεισθένη* Schol. *ἐν — ἀκμῇ* om. Suid. *τῇδε τῇ* Bentl.] *τῇ.* G. Dindorfius *ληρεῖς ἔχων· γελοῖος ἔσται Κλεισθένης κυβεύων | ἐν τῇδε τῇ κάλλους ἀκμῇ· γράφ' αὐτὸν ἐν σποδείῳ, σποδεῖον* *lupanar* esse adfirmans, nullo tamen testimonio adlato. nos Piersonum (Moer. 391) secuti sumus, Porsono quoque et G. Hermanno probatum, qui modice transpositis verbis *Κρατῖνος ἐν Πυτίνῃ λέγων οὕτως ἐν ἐπεισοδίῳ* poetae verba ea tantum reliquit quae supra leguntur. *ἐπεισόδιον* cur non idem in comoedia significare possit quod in tragoedia, fabulae partem canticis choricis inclusam, nullam video causam. cf. quae adnotavimus ad Metag. 14. de *Clisthene* cf. interpr. Aristoph. Eq. 1374. Nub. 355.

196

Ὑπέρβολον δ' ἀποσβέσας ἐν τοῖς λύχνοισι γράψον.

Schol. Arist. Pac. 692 *λυχνοπώλης ὁ Ὑπέρβολος. Κρατῖνος ἐν Πυτίνῃ κτλ. λύχνοις* codices. de *Hyperbolo* cf. interpr. Aristoph. Eq. 1304. *ἀποσβέσας* pro *ἐξαλείψας* (nomen eius), quia lucernas vendebat. cf. Arist. Eq. 877 *τὸν Γρύττον ἐξαλείψας. nomen Hyperboli dele et in foro ubi lucernae veneunt scribe.* videntur duo nescio qui nomina eorum adulescentulorum recensere, qui indigni ad rem publicam accesserint. alter alterum iubet Clisthenem et Hyperbolum ex numero illorum qui digni sint tanto honore tollere et nomina eorum aptiori loco adscribere.

197

οὐ δύνανται πάντα ποιοῦσαι νεωσοίκων λαχεῖν,
οὐδὲ κάννης.

Pollux 10, 184 *μάλιστα δ' ἐχρῶντο τῷ πλέγματι τούτῳ* (*κάννας* dicit) *ἐς τὰ περιφράγματα, ὡς ἐν τῇ Πυτίνῃ ὁ Κρατῖνος περὶ τῶν τριήρων λέγει. νεὼς οἴκων* codices, ut Paus. 1, 29, 16 *νεὼς εἰσιν οἶκοι.* Bekker. Anecd. 282, 1 *νεώσοικοι· καταγώγια ἐπὶ τῆς θαλάττης ᾠκοδομημένα εἰς ὑποδοχὴν τῶν νεῶν, ὅτε μὴ θαλαττεύοιεν. τὰ νεώρια δὲ ἡ τῶν ὅλων περιβολή.* Hesych. utrumque confundens *νεώσοικοι· τὰ νεώρια ἔνθα ἡ ναῦς χειμῶνος εἰσφέρεται.* erant autem *νεώσοικοι*, quos singulos singulae triremes habebant, ad Cantharum portum, ad Munychiam, denique ad Zeam (Boeckh. Oecon. Ath.[2] I 84). postquam Themistocle auctore decretum erat, ut vicenae quotannis triremes novae aedificarentur (Boeckh. I 350) neque quingentorum senatus corona donabatur nisi eum numerum explevisset, naves festinantius plerumque aedificabantur: quo fiebat, ut saepenumero *νεώσοικοι* navibus recipiendis non sufficerent (Boeckh. III 279) multaeque triremes *ὑπαίθριοι* in terra iacerent (III 335). id ipsum Cratinus queritur, quod triremes *πάντα ποιοῦσαι* tamen non possint *νεωσοίκους* suos nancisci. excerpta enim haec sunt ex epirrhemate, atque imitatur quodammodo epirrhema sive Eupolidis sive Aristophanis Eq. 1300 sq.

198

ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε
ῥήματα.

Schol. Arist. Pac. 603 *Κρατῖνος ἐν Πυτίνῃ . . . ἔστι δὲ πρὸς τὰ Ἀρχιλόχου· ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε ῥήματα.* Photius *λιπέρνητες· ἤτοι λιπoπόλεις ἢ πένητες· τὸ δὲ ὄνομα καὶ παρὰ τοῖς κωμικοῖς, ὅταν παρῳδῶσι τοὺς Ἴωνας. ὦ* add. Dindorfius, *ῥήματα* ex Archilocho Meinekius idem versus (*σοφώτατοι γεωργοί* tamen pro

λ. πολῖται) Aristoph. Pac. 603. cf. etiam Eupol. 357. Hesych. λιπερνής· ὁ ἐκ πλουσίου πένης· ἢ ἐξ ἀγροῦ εἰς πόλιν πεφευγώς. ἢ ὁ λιπόπολις. Herod. I 74, 2 Lentz. λιπερνήτης ὁ πρότερον πλούσιος, ὕστερον δὲ πένης· παρὰ τὸ λείπεσθαι ἐρνέων ἤγουν φυτῶν. cf. Etym. m. 566, 50. πολῖται ex Archilocho perperam in Cratinum transiit. est enim epirrhematis (alius tamen ut videtur ac fr. 197) initium: itaque chorus ad *spectatores* conversus haec loquitur, qui numquam πολῖται dicuntur, sed θεαταί, quod restituendum. cum enim Cratinus ante Pytinen plus semel primum praemium non tulisset (cf. quae adnotavimus ad Aristoph. Eq. 526), ita utitur Archilochi versu, ut spectatores antea se victore divitissimos, nunc pauperes esse significet, postquam poetae minus ingeniosi palmam sibi praeripuerint. ad idem epirrhema referendum fr. 200.

199

οἶνός τοι χαρίεντι πέλει ταχὺς ἵππος ἀοιδῷ,
ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοι σοφόν.

Epigramma apud Athen. 2, 39 c et alios οἶνός τοι χαρίεντι πέλει ταχὺς ἵππος ἀοιδῷ, | ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοι σοφόν. | ταῦτ' ἔλεγεν, Διόνυσε, καὶ ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ | Κρατῖνος, ἀλλὰ παντὸς ὠδωδὼς πίθου. sine dubio Pytinae tribuendum. ταχὺς Anthol. (Brunck. Anal. I 417)] μέγας Athen. οὐδὲν ἂν τέκοι σοφόν] χρηστὸν οὐδὲν ἂν τέκοις Anthol. καλὸν pro χρηστὸν Suid. ὕδωρ. cf. Hor. Epist. 1, 19, 1 et quae ad v. 10 adnotavit Bentl. — solum senarium Cratini esse sobrie iudicat Cobet. N. l. 146. 7.

200

Schol. Arist. Eq. 531 ταῦτα ἀκούσας ὁ Κρατῖνος ἔγραψε τὴν Πυτίνην δεικνὺς ὅτι οὐκ ἐλήρησεν, ἐν οἷς (ἐν ᾗ Kirchhoff Herm. XIII 290) κακῶς λέγει τὸν Ἀριστοφάνην ὡς τὰ Εὐπόλιδος λέγοντα. cf. quae ad fr. 198 extr. adnotavimus.

201

Plutarch. Mor. 833 a ὅτι δὲ (Ἀντιφῶν ὁ Ῥαμνούσιος) ὑπὸ τῶν τριάκοντα ἀπέθανεν ἱστορεῖ καὶ Θεόπομπος ἐν τῇ πεντεκαιδεκάτῃ τῶν Φιλιππικῶν. ἀλλ' οὗτός γε ἂν εἴη ἕτερος, Λυσιδωνίδου πατρός, οὗ Κρατῖνος ἐν Πυτίνῃ ὡς πονηροῦ μνημονεύει. 'eundem fortasse *Antiphontem* risit Aristoph. Vesp. 301.' Meinek.

202

Schol. Platonis 331 Bekk. Κρατῖνος Πυτίνῃ (Χαιρεφῶντα σκώπτει) εἰς αὐχμηρὸν καὶ πένητα. cf. interpr. Aristoph. Nub. 104.

203

Schol. Plat. Bekk. 332 *Λύκων μέντοι πατὴρ ἦν Αὐτολύκου, Ἴων γένος, δήμων Θορίκιος, πένης, ὡς Κρατῖνος Πυτίνῃ, Ἀριστοφάνης Σφηξίν.* de *Lycone*, postea Socratis accusatore, Schneider. Xen. Anab. praef. XXXII. Meinek. I 117.

204

Pollux 10, 58 *ὁ δὲ ἐνὼν τῇ πινακίδι κηρὸς ἢ μάλθη*... *Κρατῖνος δὲ ἐν τῇ Πυτίνῃ μάλθην ἔφη.* Bekk. Anecd. 278, 23 *μάλθη· μεμαλαγμένος κηρὸς ἢ ἄλλο τι τοιοῦτον, ᾧ τὰ γραμματεῖα* (*tabulae scriptoriae*) *πράττεται* (*πλάττεται*?).

Ad Pytinen praeterea referebat Meinekius fr. 291, Runkelius 307; fortasse ad eandem pertinet Etym. m. 197, 32 *ὕδωρ δὲ πίνει, τὸν δὲ Βίβλινον στυγεῖ.* cf. etiam fr. 288.

ΣΑΤΥΡΟΙ

Argument. Aristoph. Eq. *ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ Στρατοκλέους ἄρχοντος δημοσίᾳ εἰς Λήναια δι' αὐτοῦ τοῦ Ἀριστοφάνους. πρῶτος ἐνίκα· δεύτερος Κρατῖνος Σατύροις· τρίτος Ἀριστομένης Ὑλοφόροις.* acta igitur est anno ante Pytinen, Ol. 88, 4. cf. quae ad Aristoph. Eq. 526 et ad Ecphantidis Satyros adnotavimus.

ΣΕΡΙΦΙΟΙ

Persei fabulam hac comoedia sicuti Ulixibus Cyclopeam videtur adumbravisse. Strab. 10, 487 *Σέριφος δ' ἐστίν, ἐν ᾗ τὰ περὶ τὸν Δίκτυν μεμύθευται, τὸν ἀνελκύσαντα τὴν λάρνακα . . . τὴν περιέχουσαν τὸν Περσέα καὶ τὴν μητέρα Δανάην . . . τραφῆναί τε γὰρ ἐνταῦθα τὸν Περσέα φασί, καὶ κομίσαντα τὴν τῆς Γοργόνος κεφαλὴν δείξαντα τοῖς Σεριφίοις ἀπολιθῶσαι πάντας. τοῦτο δὲ πρᾶξαι τιμωροῦντα τῇ μητρί, ὅτι αὐτὴν Πολυδέκτης ὁ βασιλεὺς ἄκουσαν ἄγεσθαι προείλετο πρὸς γάμον . . . οὕτω δ' ἐστὶ πετρώδης ἡ νῆσος, ὥστε ὑπὸ τῆς Γοργόνος τοῦτο παθεῖν αὐτήν φασιν οἱ κωμῳδοῦντες.* cf. Preller Mythol. gr.[2] II 61. 2. 71. Bursian. Geogr. gr. II 476. 8. ad Persei errores pertinent fr. 207. 8. videtur autem Perseus et abiisse et rediisse Seriphum, ut Trygaeus in Pace in Olympum adscendit et Athenas revertitur.

205

αἶρε δεῦρο τοὺς βρικέλους.

Κρατῖνος. Etym. m. Milleri (Mélanges 71), ubi primum hoc fragmentum plenius editum legitur. *βρικέλους* Miller] *τρικέλους.* ad Seriphios pertinere docet Hesych. *βρίκελοι· οἱ μὲν τοὺς ἱστίποδας, ἀπὸ* (cod. *ἐπὶ*) *τοῦ βάρους καὶ τοῦ ξύλου. οἱ δὲ βαρβά-*

ρους. *Δίδυμος δὲ τὰ τραγικὰ προσωπεῖα, παρὰ Κρατίνῳ, οἷον βροτοΐκελοι, ἐν Σεριφίοις.* fortasse scribendum *αἶρ' αἶρε δ. κτλ.*, nam versus manifesto iambicus est. *τοὺς βρικέλους* cum grammatici *τὰ τραγικὰ προσωπεῖα* esse interpretentur, caput Gorgoneum dici arbitror, quod attollere Perseus (fortasse a Danaë) iubetur.

206

οὕτω σταθερῶς τοῖς λωποδύταις ὁ πόρος πεινῶσι παφλάζει.

Photius et Suidas *σταθερόν· ... Κρατῖνος ἐν Σεριφίοις ἐπὶ τοῦ ὀξέως (ὀξέος) ἢ ἰσχυροῦ. σταθερῶς* Phot.] *σταθερὸς* Suid. fortasse *σταθερὸν. σερεφίοις* cod. Phot., *σερίφοις* codices Suid. — ut proprie *ἡ χύτρα παφλάζει* eis qui esurientes iamiam cupiditatem expleturi sunt, ita poeta praedonibus fretum ea quae opus sunt praebere dicit.

207

ἐς Συρίαν δ' ἐνθένδ' ἀφικνεῖ μετέωρος ὑπ' αὔρας.
B. ἱμάτιον μοχθηρόν, ὅταν βορρᾶς καταπνεύσῃ.

Pollux 7, 69 *συρίαν δὲ ἱμάτιον Κρατῖνός φησι Σεριφίοις.* versum secundum alteri personae tribuit Meinekius, cui haec Polydectae verba videntur Perseo contra Gorgonas proficiscenti itineris rationem explicantis (Menandr. praef. XVIII adn.) Poll. 7, 61 *ἣν δὲ συρίαν οἱ πολλοί, ταύτην αὐτόποκον ἱμάτιον οἱ κωμικοί.* Hesych. *συρία· παχεῖα χλαῖνα.* sed ut erat crassa, ita etiam vento pervia et propterea *ἱμάτιον μοχθηρόν.*

208

εἶτα Σάκας ἀφικνεῖ καὶ Σιδονίους καὶ Ἐρεμβούς,
ἔς τε πόλιν δούλων, ἀνδρῶν νεοπλουτοπονήρων,
αἰσχρῶν, Ἀνδροκλέων, Διονυσοκουρώνων.

v. 1. 2. Stephanus Byz. *Δούλων πόλις· φασὶ δὲ καὶ κατὰ Κρήτην Δουλόπολιν εἶναι χιλίανδρον. σημειωτέον δ' ὅτι Κρατῖνος ἐν Σεριφίοις πόλιν δούλων φησίν, Ἀπολλωνίου φήσαντος μὴ δεῖν τὰς παραθέσεις ἐναλλάσσειν δίχα ποιητικῆς ἀνάγκης, ὥς φησι Κρατῖνος 'εἶτα Σάκας' κτλ. ἔστι δὲ χωρίον ἐν Αἰγύπτῳ, ὥς φησιν Ὀλυμπιανός.* v. 3. Hesych. *Διονυσοκουροπυρώνων. Κρατῖνος ἐν Σεριφίοις Αἰσχρῶν Ἀνδροκλέων Διονυσοκουρώνων. ἔνιοί φασιν ἐν τῷ αὐτῷ πέντε κωμῳδεῖσθαι Αἰσχρόν, Ἀνδροκλέα, Διονύσιον, Κῦρον, Πυρῶν* (sic), *ἁμαρτάνοντες· οὐδεὶς γὰρ Ἀθηναίων ἀναγράφεται Κῦρος· δεῖ οὖν γράφειν Διονυσοκουροπυρώνων. τὸν γὰρ Διόνυσον κουρέα ὄντα κωμῳδεῖν· κουρεὺς δὲ ἦν πρὸς πάππου ὡς δηλοῖ ὁ τὰς Ἀταλάντας συνθείς.* tertium versum cum primis coniunxit Bergkius Epist. Schill. 118. 1. *Σάκας*] *Σάβας* Holstenius coll. Dionys. Perieg. 958 *Ἐρυθραίης*

πλευρὸν ναίουσι θαλάσσης . . . Σάβαι τε. 2. *δούλων* add. RV. 3. *Διον.*] in lemmate *Διονυσοκρουροπυρώνων* Hes. *Διονυσιοκουρεοπορνῶν* Dind., *Διονυσιοκουρομυρωνῶν* (quamquam hoc *-κουρεο-* scribendum fuisse monet) vel *Διονυσιοκυρτομυρωνῶν* Meinek. bene Holstenius *Σάβας*: nam Sacae, Scytharum coloni, interiorem Asiam incolentes (cf. Naek. Choeril. 121 sq.) minus recte commemorantur quam Sabaei. Sidonios et Erembos coniunxit ut Hom. Od. 4, 84. urbem Dulopolin commemoravit etiam Eupol. 197. *νεοπλούτους* novit etiam Aristoph. Vesp. 1309 (ubi *Φρυγί* restitui Veri sim. 200) Athen. 6, 230 a *ζηλουμένου δὲ ὑπό τινων νεοπλούτων μετοίκων.* — *Ἀνδροκλέων*, i. e. hominum Androcli similium. cf. Ecphant. 4. Cratin. 263. primam proximi nominis partem *Διονυσιο-* scribendam esse, quod *Διόνυσος* nomen sit hominis Atticis inauditum, Meinekius monet, conl. Nicarch. Anthol. Pal. II 324 *Διονυσιοπηγανόδωρος*. a reliquis satius videbatur manum abstinere.

209

οἰκοῦσιν φεύγοντες, ἀίδρυτον κακὸν ἄλλοις.

Hesychius *ἀΐδρυτον κακόν· Κρατῖνος Σεριφίοις* (sic Valesius pro *ἐριφίοις*). *οἰκοῦσι φεύγοντες ἀΐδρυτον κακὸν ἄλλοις. κακοίδρυτον, ἢ οἷον ἄλλοι αὐτοῖς οὐκ ἂν ἱδρύσαιντο, τὴν φυγήν, ὡς εἴ τις ἄγαλμα ἱδρύσαιτο.* sic nunc ex Meinekii emendatione M. Schmidt. Etymol. m. 42, 10 *ἀΐδρυτον κακόν· τὸ κατάρατον, ὃ οὐκ ἄν τις αὐτῷ ἱδρύσαιτο.* de forma *ἀΐδρυτος* (*ἀνίδρ.*) cf. Lob. Phryn. 730. Aristoph. Lys. 809. loquitur de hominibus, qui voluntario exsilio solum verterant, quod aliis videatur malum intolerabile. ita fere Meinekius.

210

Bekk. Anecd. 85, 1 *βόθυνον οὔ φασι δεῖν λέγειν. ἀλλὰ Σόλων ἔφη ἐν τοῖς νόμοις. Κρατῖνος Σεριφίοις· ἀλλ' ἀπίωσιν ἐν χορῷ ἐς βόθυνον ἱέναι. ἔστι δὲ παιδιά τις ἐς βόθυνον ἱέναι.* dixit etiam Xenoph. Oec. 19, 3 *βοθύνους οἵους ὀρύττουσι τοῖς φυτοῖς.* Harpocrat. *βόθυνος τόπος τις ἰδίως οὕτω καλούμενος ἐν τῇ ἱερᾷ ὁδῷ.* unde Sauppius Isaei fr. 19 *ἀλλ' ἀπίωσιν ἐν χορῷ | ἐς Βόθυνον,* deinde *ἐς βόθυνον ἱέναι. ἔστι δὲ παιδιά τις.* metrum Bergkio videbatur Cratineum admisso in medio versu hiatu, de qua re iure dubitat Meinekius. trochaicum propter dactylum admixtum esse non potest. arbitror esse glyconeum polyschematistum.

211

χαίρετε πάντες ὅσοι πολύβωτον ποντίαν Σέριφον.

Hephaest. 15, 10 *παρὰ δὲ Κρατίνῳ ἐν τοῖς Σεριφίοις οὐκέτι ἀκατάληκτόν ἐστι τὸ δακτυλικὸν τὸ ἡγούμενον τοῦ ἰθυφαλλικοῦ, ἀλλὰ*

καταληκτικὸν εἰς δισύλλαβον. ὅσοι Dobr. Arist. Eq. 32] *θεοί.* versus est Archilochius maior ut Hor. Carm. 1, 4, admisso tamen spondeo in sede quarta. cf. Fritzsch. Quaest. Arist. I 62. 3. 'sunt chori verba Seriphi insulae sive deos sive incolas salutantis' Cobet. Mnem. II 396 sq. cf. fr. 220. *πολύβωτος pascuis abundans* Seriphus a Cratino fortasse consulto adpellabatur, antequam a Perseo in saxosam mutata esset.

212

Schol. Arist. Nub. 687 *Κρατῖνος δὲ ἐν Σεριφίοις (Ἀμυνίαν) ὡς ἀλαζόνα καὶ κόλακα καὶ συκοφάντην.* Schol. Vesp. 74 *ὧδε μὲν ὡς φιλόκυβος ὁ Ἀμυνίας κωμῳδεῖται· ἐν δὲ Σεριφίοις Κρατίνου ὡς ἀλαζὼν καὶ συκοφάντης καὶ κόλαξ.* cf. quae adnotavimus ad Eupol. 209.

213

πολυτρήτοις φῳσί

Etym. m. Milleri (Mélanges 305) *φῷδες ... Κρατῖνος ἐριφίοις.* recte Millerus *Σεριφίοις.* idem *πολυτρήτοις*] *πολυτρίτοις.* Homerici epitheti nova significatione usus est, *pustulas cutem multis locis perforantes* dicens.

214

ἀμοργοί

πόλεως ὄλεθροι Κρατῖνος Σεριφίοις. καλοῦσι δὲ καὶ μοργοὺς τὸ ᾱ ἀφαιροῦντες Suidas. *ἀμοργοί* a verbo *ἀμέργω* finxit. recte Meinekius statuit Cratini verba esse *ἀμοργοὶ πόλεως ὄλεθροι.*

215

Bekker. Anecd. 444, 16 *ἀριστεροστάτης ἐν τῷ κωμικῷ χορῷ, ἐν δὲ τῷ τραγικῷ μέσος ἀριστεροῦ. Κρατῖνος Σεριφίοις.* unam vocem *ἀριστεροστάτης* Cratini esse arbitror.

216

Pollux 10, 156 *τὴν δὲ Ἀνδρομέδαν Κρατῖνος ἐν τοῖς Σεριφίοις δελεάστραν καλεῖ.* scilicet quod Perseum amore cepit. Plaut. Asin. 1, 3, 67 *escast meretrix, lectus inlex est.*

217

Etymol. m. 751, 5. Phot. Suid. *τελενικίσαι· ἐν Σερίφοις* (i. e. *Σεριφίοις*). *τὸ κενῶσαι, ἀπὸ Τελενίκου τινός, ὡς τὸ εἰκός, πένητος παντελῶς. καὶ λέγεταί τις Τελενίκειος ἠχώ, ἐκ μεταφορᾶς ἀπὸ τῶν κενῶν ἀγγείων.* similiter Apostol. 16, 23. Hesych. *τελε-*

νικίσαι (-*ῆσαι* cod.)· *ἀντὶ τοῦ μὴ κενὸν ποιῆσαι.* quam quidem glossam, meliorem ceterorum grammaticorum commentis, sic explendam censeo *μὴ κενὸν ψόφον ποιῆσαι. μή* enim ex Cratino ipso retentum esse arbitror. nam cum Telenicus Phania Eresio auctore (Athen. 14, 638 c) *ποιητὴς μοχθηρῶν νόμων* fuerit, Cratinus verbis *μὴ τελενικίσαι* (vel -*σῃς*) inanem verborum strepitum fieri vetat.

Ad Seriphios propter fragm. 208, 3 Leutschius refert Zenob. 3, 77. Diogenian. 4, 55 *ἐν δὲ διχοστασίῃ καὶ Ἀνδροκλέης πολεμαρχεῖ.* (fr. 458), Meinekius Plut. Mor. 602 b (*ἐν Σερίφῳ*) *φησὶν ὁ κωμικὸς ταῖς σφενδόναις τρυγᾶσθαι καὶ πάντα ἔχειν ὅσων δεῖ* (perperam Cobetus *οὐ δεῖ*) *τὴν νῆσον.* scilicet haec quoque de eo tempore praedicantur, quo nondum sterilis erat insula. cf. etiam fr. 309.

ΤΡΟΦΩΝΙΟΣ

De oraculo Trophonii prope Lebadeam in Boeotia sito cf. Paus. 9, 39. Luc. Dial. mort. 3. Bursian. Geogr. gr. I207 sq. quod non modo Croesus consuluit (Herod. 1, 46), sed etiam permulti Socratis aequales. eam superstitionem praestigiasque cum ea coniunctas hac fabula videtur exagitavisse. Bergk. R. c. Att. 214 sq. eodem sine dubio consilio Trophonios scripserunt Cephisodorus, Alexis, Menander.

218

οὐ σῖτον ἄρασθ', οὐχ ὕπνου λαχεῖν μέρος.

Bekker. Anecd. 358, 2 et Suidas *ἄρασθαι· προσενέγκασθαι. Κρατῖνος Τροφωνίῳ.* eadem Zonaras 93 (omisso tamen auctoris nomine). apud Suidam *αἴρασθαι* (i. e. *ἄρασθαι*) A. Bergkius postquam R. c. Att. 216 hominem aliquem superstitiosum, morbo graviter confectum, ut cibo abstineret nec somnum capere posset, significari dixit, p. 217 eisdem verbis hominem dici interpretatur, qui de rebus suis deum sciscitaturus in antrum descenderit, et nec cibum nec somnum capere ibi potuerit.

219

ξίφιζε καὶ σπόδιζε καὶ διαρρικνοῦ.

Etymol. m. 270, 5 *διαρρικνοῦσθαι· τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν. Κράτης Τροφωνίῳ διαρρίκνου.* Zonaras 529 *διαρρικνοῦσθαι· τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν. Κράτης. σπόδιζε*] *σπάθιζε* cod. Par. Etym. et Zonar. K. utrumque falsum. scribendum videtur *σπύρθιζε.* Aristoph. fr. 858. Hesych. *σπυρθίζειν· σπᾶσθαι. καὶ ἀγανακτεῖν. πυδαρίζειν. καὶ σφύζειν.* Hesych. *ξιφίζειν· ἀνατείνειν τὴν χεῖρα καὶ ὀρχεῖσθαι. ξιφισμός· σχῆμα ὀρχηστικόν.* idem *διαρικνοῦσθαι* (sic)· *ἐπὶ σχήματος ὀρχηστικοῦ τίθεται. ὁτὲ δὲ ἐπὶ τοῦ συνεστράφθαι.* et *διερικνοῦντο· ... ἐκίνουν τὰς ὀσφῦς ἀσχημόνως.*

220

χαίρετε δαίμονες, οἳ Λεβάδειαν Βοιώτιον οὖθαρ ἀρούρης —

Hephaestio 8, 2 *κέκληται δὲ Ἀριστοφάνειον, οὐκ Ἀριστοφάνους αὐτὸ εὑρόντος πρώτου, ἐπεὶ καὶ παρὰ Κρατίνῳ ἐστί·* tetrametrum anapaesticum dicit. Trophonio recte tribuit Runkelius. deos qui ibi colebantur recenset Paus. 9, 39, 4 (5).

221

οὐδ' Αἰξωνίδ' ἐρυθρόχρων ἐσθίειν ἔτι τρίγλην,
οὐδὲ τρυγόνος, οὐδὲ δεινοῦ φυὴν μελανούρου —

Athenaeus 7, 325e *Κρατῖνος ἐν Τροφωνίῳ.* 1. *ἔτι* Meursius Reliq. Att. I 7] *εἴτι.* Hesych. *Αἰξωνίδα τρίγλην· δοκοῦσι κάλλισται εἶναι αἱ Αἰξωνικαὶ τρίγλαι.* 2. *οὐδὲ δεινοῦ φυὴν* Casaub.] *οὐ δεινυύφην.* fortasse post *μελανούρου* Cratinus verbum *γεύσασθαι* initio versus proximi posuerat: nam non est veri simile eum utraque verbi *ἐσθίειν* syntaxi in eadem re usum esse. de triglis Aexonensibus cf. etiam Nausicr. Athen. 7, 325e, de pago Burs. Geogr. gr. I 360. 1. videtur nescio quis admoneri ei qui in Hecates regnum sit descensurus, piscibus deae sacris non esse vescendum. triglae enim Hecatae sacrae credebantur. Athen. 325a. cd. cf. Preller Mythol. gr.[2] I 248. melanurus copiose describitur Athen. 313cd. Aelian. H. an. 1, 41. epitheton eius (*δεινὸς φυήν*) Schweighaeuserus recte videtur ad corporis habitum et magnitudinem rettulisse: quamquam ex Aeliano, qui eum *δειλότατον ἰχθύων* dicit, conicere possis scribendum esse *δειλός.* metrum est Priapeum: nominis *ἐρυθρόχρων* syllaba secunda producitur.

222

ἔγειρε δὴ νῦν, Μοῦσα, Κρητικὸν μέλος.
χαῖρε δή, Μοῦσα· χρονία μὲν ἥκεις, ὅμως δ'
ἦλθες οὐ πρίν γε δεῖν, ἴσθι σαφές, ἀλλ' ὅπως —

Hephaestio 13, 2 *καλεῖται δὲ (τὸ μέτρον) καὶ ὑπ' αὐτῶν τῶν ποιητῶν Κρητικόν, ὥσπερ ὑπὸ Κρατίνου ἐν Τροφωνίῳ· ἔγειρε — μέλος. εἶτα ἐπιφέρει χαῖρε κτλ.* Photius De metr. p. 296 Gaisf. *unde Cratinus dicens ἔγειρε Μοῦσα Κρητικὸν μέλος, intulit metrum paeonicum, χαῖρε δὴ Μοῦσα κτλ. πρίν γε δεῖν* Porson. (ap. Gaisf.)] *πρὶν ἐλθεῖν.* idem ludens sententiam ita supplevit *ἀλλ' ὅπως εὔτονον τοῖς θεαταῖσιν ᾄσει μέλος.* simile carmen Aristoph. Ach. 665 mediae fabulae inseruit: quamobrem miror Bergkium R. c. Att. 218 Cratini canticum extremae comoediae adscribere. nam quod Musam dicit sero venire, attamen non priusquam oportuerit, id ad universam Cratini artem, qui aetate iam provectus ad poesin accessit, referendum videtur.

223

Schol. Aristoph. Pac. 348 τέταρτος (Φορμίων) Κροτωνιάτης ἀρχαῖος. Κρατῖνος Τροφωνίῳ. Suid. Φορμίων. περὶ τούτου καὶ Θεόπομπος ἐν Φιλιππικοῖς. ἦν δὲ Κροτωνιάτης, καὶ ἐν τῇ ἐπὶ Σάγρᾳ μάχῃ ἐτρώθη. cf. fr. 442. Hesych. Φορμίων· οὗτος στρατηγὸς ἐγένετο Κροτωνιατῶν. quo modo sanatus sit narratur apud Suidam. fortasse etiam pugnae apud Sagram mentio ad Trophonium pertinet.

224

ἐπέθηκεν ἐπιστολήν

Harpocrat. 80, 5 ἀντὶ τοῦ παρέδωκεν . . . Κρατῖνος ἐν Τροφωνίῳ. i. e. *mandatum inposuit*. cf. fr. 285. Aesch. Prom. 3. Bergk. R. c. Att. 218.

225

παρεῖαι ὄφεις

Δημοσθένης ὑπὲρ Κτησιφῶντος· παρεῖαι ὀνομάζονταί τινες ὄφεις παρὰ τὸ παρειὰς μείζους ἔχειν, ὡς καὶ Κρατῖνος ἐν τῷ Τροφωνίῳ ὑποσημαίνει. Harpocrat. apte Bergkius R. c. Att. 218 contulit Paus. 9, 39, 3 εἰσὶ δ' ἐν τῷ σπηλαίῳ . . . ἀγάλματα ὀρθά, περιειλιγμένοι δέ εἰσιν αὐτῶν τοῖς σκήπτροις δράκοντες, . . . ἐπεὶ τοὺς δράκοντας . . . καὶ Τροφωνίου νομίζουσιν ἱεροὺς εἶναι.

226

Pollux 7, 103 ἀπὸ δ' ἀργύρου ἀργυροκόπος, ὡς Φρύνιχος ἐν Ἐφιάλτῃ· . . . ἀργυροκοπιστῆρας δὲ λόγων ἐν Τροφωνίῳ παίζει Κρατῖνος. Hesychius ἀργυροκοπιστήρ· τραπεζίτης. ἄργυρον κόπτειν est *argentum percutere, ferire*. Aristoph. Ran. 723. 726. ἀργυροκοπιστὴρ λόγων dici videtur sophista, qui orationibus scriptis argentum percussum, i. e. nummos argenteos sibi parat.

227

λυχνοκαῖαν

εἴρηκεν Κρατῖνος ἐν τῷ Τροφωνίῳ Pollux 10, 115.

Hesych. κριθῶν ὄχλος· ἐν Τροφωνίῳ· παρέθηκε δὲ παίζων τὸ ἀργύριον. haec ad Cratini fabulam sint an non sint referenda, dubitat Meinekius. cf. M. Schmidt. in Hes. ed. praeterea propter fr. 223 ad Trophonium fr. 318 et 456 refert Meinekius.

ΧΕΙΜΑΖΟΜΕΝΟΙ

Argument. Aristophan. Acharn. ἐδιδάχθη ἐπὶ Εὐθύνου ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου· καὶ πρῶτος ἦν. δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σῴζονται. τρίτος Εὔπολις Νουμηνίαις. verba οὐ σῴζονται Elmsleius post Νουμηνίαις transponit. titulus fabulae

fortasse ita interpretandus, ut Athenienses significet magna calamitate conflictantes. Aristoph. Ran. 361.

ΧΕΙΡΩΝΕΣ

In Periclem potissimum, et cum is nusquam propter bellum vituperetur, ante bellum Peloponnesium exortum videtur scripta esse. Cobetus primam hanc fabulam post recuperatam artis comicae libertatem unamque ex praestantissimis Cratini esse iudicat Obs. crit. Plat. 22—25. cf. tamen etiam Meinek. V 22. Chiron cum Achillem venando, fidibus, palaestra instituisse diceretur, quasi quoddam exemplum sapientis gravisque magistri habebatur. cf. Plat. com. 191. ferebantur *Χείρωνος ὑποθῆκαι*, Hesiodi nomine inscriptae, opus prudentissimis sapientiae disciplinaeque praeceptis insigne. Chironum igitur chorum poeta composuit, ut civibus praecepta liberorum recte educandorum et reipublicae prudenter administrandae daret. Bergk. R. c. Att. 224. Solonem quoque ab inferis Cratinus excitavit, ut Pericleae licentiae priscae vitae disciplinam opponeret.

228

οἰκῶ δὲ νῆσον, ὡς μὲν ἀνθρώπων λόγος,
ἐσπαρμένος κατὰ πᾶσαν Αἴαντος πόλιν.

Diogenes Laert. 1, 62 *ἀποκομίσαι αὐτοῦ* (*Σόλωνος*) *τὰ ὀστᾶ εἰς Σαλαμῖνα καὶ τεφρώσαντας εἰς τὴν χώραν σπεῖραι· ὅθεν καὶ Κρατῖνος ἐν τοῖς Χείρωσί φησιν αὐτὸν ποιῶν λέγοντα οἰκῶ δὲ κτλ.* Solon igitur loquitur. cf. Plut. Sol. 32. *Αἴαντος πόλιν*, i. e. *Salaminem insulam.* ita Hom. Il. 14, 230 *Λῆμνον, πόλιν θείοιο Θόαντος.* Strab. 8, 356. exempla congessit Bergkius R. c. Att. 241 Eur. Ion 294. fr. 659 Nauck. Soph. fr. 374 N. Pind. Nem. 7, 9 (13). Isthm. 4, 43 (60) Arist. Pac. 251, quo pertinet Hesych. *πόλις· τὴν Σικελίαν· ἀντὶ τοῦ νῆσον.* addo Eupol. 232. Eurip. fr. 730 *ἅπασα Πελοπόννησος εὐτυχεῖ πόλις.* Lys. ap. Harpocr. *Κεῖοι. οἱ Κεῖοι μὲν πόλις τοσαύτη*, et psephisma apud Schol. Vict. Il. 14, 230 (Mein. Steph. Byz. 718) *ἐς τὴν Αἴγυπτον καὶ Λιβύην τὼ πόλεε.* cf. Schoemann. comment. Ion. I 13 et quae adnotavimus ad Aristoph. Av. 181.

229

ὄνοι δ' ἀπωτέρω κάθηνται τῆς λύρας.

Schol. Platon. 358 Bekk. *τῶν οὖν παιζόντων ταῦτα τοὺς μὲν νικῶντας βασιλεῖς ἐκάλουν, καὶ ὅ τι ἂν* (*ὁτιοῦν*) *προσέτασσον τοῖς ἄλλοις ὑπήκουον, τοὺς δ' ἡττωμένους ὄνους. Κρατῖνος δὲ Χείρωσι χαριέντως ὁμοῦ ἐγκαταμίξας καὶ τὴν ὄνος λύραν παροιμίαν ἔπλεξε τὸν λόγον οὕτως· ὡς ὄνος ἀπωτέρω κτλ.* Eustathius 1601, 47 *τὴν*

δὲ ἀπὸ Κρατίνου οἷον· ὄνοι ἀπωτέρω κτλ. hinc Meinekius ὄνοι δ'. *victi et contempti tamquam asini procul a litteris sedent.* cf. exempla congesta ad fr. 52.

230

Schol. Thucyd. 8, 83 τὸ ἐπιφέρειν ὀργὴν ἐπὶ τοῦ χαρίζεσθαι καὶ συγχωρεῖν ἔταττον οἱ ἀρχαῖοι. μάρτυς Κρατῖνος ἐν Χείρωσι λέγων τὴν μουσικὴν ἀκορέστους ἐπιφέρειν ὀργὰς βροτοῖς σώφροσιν. verba Thucydidis sunt Ἀστύοχον εἶναι αἴτιον, ἐπιφέροντα ὀργὰς Τισσαφέρνει διὰ ἴδια κέρδη. de usu nominis ὀργή Blomfield. Gloss. Aesch. Prom. 386. recte Cobetus Obs. crit. Plat. 25. 6. μουσικήν dicit esse artem comicam, quae cum malis hominibus sit acerba, *bonis civibus* incredibilem in modum faveat. fortasse Cratinus ἡ γὰρ μουσικὴ βροτοῖς ἀεὶ | ὀργὰς ἀκορέστους ἐπιφέρει τοῖς σώφροσιν.

231

οἷς ἦν μέγιστος ὅρκος
ἅπαντι λόγῳ κύων, ἔπειτα χήν, θεοὺς δ' ἐσίγων.

Schol. Platonis Bekk. 331 Ῥαδαμάνθυος ὅρκος· οὗτος ὁ κατὰ κυνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου . . . Κρατῖνος Χείρωσιν. κατὰ τούτων δὲ νόμος ὀμνύναι, ἵνα μὴ κατὰ θεῶν οἱ ὅρκοι γίνωνται (i. e. *ne deorum nominibus iurantes abuterentur*). Schol. Luciani 90 Iac. Photius et Suidas Ῥαδαμάνθυος ὅρκος. Zenob. 5, 81. cf. etiam interpr. Aristoph. Av. 521. — δ' ἐσίγων] δὲ σιγῶν Phot. Suid. AV, δὲ σιγᾶν ceteri Suid. talia in cantico chori narrari vix poterant: quocirca recte Meinekius tetrametros iambicos constituit.

232

ἄγε δὴ πρὸς ἕω πρῶτον ἁπάντων ἵστω καὶ λάμβανε χερσὶν
σχῖνον μεγάλην.

Schol. Sophocl. Oed. Col. 477 καὶ οἱ τοὺς καθαρμοὺς δὲ ἐπιτελοῦντες πρὸς τὴν ἕω ἵστανται. Κρατῖνος ἐν Χείρωνι. et paullo ante καὶ γὰρ δὴ καὶ τὰς ἐκθύσεις πρὸς ἥλιον ἐποιοῦντο. cf. Aristoph. fr. 255. Plin. N. h. 20, 101 *Pythagoras scillam in limine ianuae suspensam malorum medicamentorum introitum pellere tradit.* Chironem praecipere de evocando ab inferis Solone arbitratur Bergkius R. c. Att. 239.

233

καὶ πρῶτον μὲν παρὰ ναυτοδικῶν ἀπάγω τρία κνώδαλ' ἀναιδῆ
[Πεισίαν, Ὀσφύωνα, Διειτρέφη.]

Schol. Aristoph. Av. 766 οὐδὲν σαφὲς ἔχομεν τίς ὁ Πεισίου . . . ὅτι δὲ τῶν λίαν πονηρῶν ἐστι, δηλοῖ Κρατῖνος ἐν Χείρωσι.

πρῶτον Porson.] *πρῶτα.* Meinekius *πρῶτα μὲν οὖν· Διειτρέφη* scripsi pro *Διιτρ.* cf. quae adnotavimus ad Aristoph. Av. 798. nomina uncis inclusa, quae tetrametro anapaestico, ut volebat G. Hermannus, adcommodari non possunt, scholiastae esse recte iudicavit Hanovius Exerc. crit. 59. cuius rei aliud exemplum Dindorfius adfert in Schol. Aristoph. Nub. 997 Eupolidis versibus Hippocratis filiorum nomina adscripta. *ἀπάγειν* verbum proprium est *de abducendis in iudicium vel in vincula reis.* Soph. Ant. 382. Alexid. 77, 8. 124, 6. nautodicae autem (cf. Aristoph. fr. 225. Schoemann. Ant. gr.[2] I 491) de eis iudicabant, qui in civitatem Atticam se intrusissent, ut tamen ubi reum accusandum esse censuissent, res ad heliastarum iudicium deferretur. itaque Cratinus: *ac primum quidem a nautodicis ad heliastas ut peregrinitatis reos abduco* Pisiam cet. de *Pisia* diximus Av. 766, de *Diitrephe* Av. 798. *Osphyonis* nomen ignotum est.

234

ἐξ ἀσαμίνθου κύλικος λείβων.

Pollux 6, 97. 98 *καὶ ἀσάμινθος δὲ ποτήριον ἂν εἴη, ὡς Ὅμηρός τε μηνύει Τηλεμάχου διδόντος Μενέλεῳ δύ' ἀσαμίνθους, καὶ Κρατῖνος ἐν Χείρωσιν κτλ.* idem 10, 64 *καί τοι ἔν γε τοῖς Κρατίνου Χείρωσιν* (sic Meinek. pro *Ἥρωσιν*) *τὴν ἀσάμινθον κιβωτὸν νοοῦσιν, ἔνιοι δὲ ἔκπωμα.* sententia est: *ex poculo tanto, ut ἀσάμινθος esse videretur.* cf. Cratet. 11. Pherecr. 108, 19.

235

σκῆψιν μὲν Χείρωνες ἐλήλυμεν, ὡς ὑποθήκας —

Hephaestio 1, 18 *Κρατῖνος ἐν τοῖς Χείρωσι* (*ἐλήλυμεν*) *ἀντὶ τοῦ ἐληλύθαμεν, ὅπερ ἐξηλέγξαμεν ψεῦδος ὄν. Χείρωνες* Turneb.] *Χείρωνας* FHB. *Χείρωνι* N. *ὦ Χείρωνες* CP. *ἐλήλυμεν*] *ἐλήλυθμεν* Flor. *Chirones personati huc advenimus, ut praecepta* — reliqua desunt. voce *ὑποθήκας* Hesiodei illius quod dicebatur (*Χείρωνος ὑποθῆκαι*) carminis memoriam revocat. sequebantur sine dubio versus ex ipso illo opere vel excerpti vel inmutati. cf. Aristoph. fr. 227. si non prima, at certe ex primis haec verba videntur esse chori in orchestram ingredientis. Bergk. R. c. Att. 225. *σκῆψιν Χείρωνες ἐληλύθαμεν* idem est ac *σκηπτόμενοι Χείρωνες εἶναι,* i. e. *adsumpta Chironum specie et habitu.* similiter dicebant *πρόφασιν, τὸ δ' ἀληθές, γνώμην ἐμήν, τὸ λεγόμενον,* alia.

236

Κλειταγόρας ᾄδειν, ὅταν Ἀδμήτου μέλος αὐλῇ.

Schol. Arist. Vesp. 1239 *Ἡρόδικος δ' ἐν τοῖς κωμῳδουμένοις καὶ τὸν Ἄδμητον ἀναγέγραφεν παραθεὶς Κρατίνου ἐκ Χειρώνων*

Κλειταγόρας κτλ. ᾄδειν] *ᾄδει* V. de *Clitagora* nihil constat, neque de patria neque poetriam eam fuisse. *Κλειταγόρας ᾄδειν* non est Clitagorae carmen canere, sed ut ait Schol. Arist. Vesp. 1245 *Κλειταγόρας μέλος λέγουσι τὸ εἰς αὐτήν ... καὶ Ἀδμήτου τὸ εἰς Ἄδμητον. ἐκ σκολιοῦ τινός ἐστιν.* partem eius sed alienis admixtis servavit Aristoph. Vesp. 1245 *χρήματα καὶ βίον Κλειταγόρᾳ.* scolion *Admeti*, ab aliis Praxillae, ab aliis Alcaeo vel Sapphoni tributum, hoc est (Bergk. 21): *Ἀδμήτου λόγον, ὦ 'ταῖρε μαθὼν τοὺς ἀγαθοὺς φίλει, τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγα χάρις.* Clitagorae scolium canere, ubi tibicen Admeti exorsus sit, proverbium est de eis qui temere omnia confundunt. tamquam nos dicamus 'symphoniacis Paminae carmen praeeuntibus Sarastronis carmen canere'.

237

ταῦτα δυοῖν ἐτέοιν ἡμῖν μόλις ἐξεπονήθη.

Aristides 49, 387 *διδάξας δὲ τοὺς Χείρωνας προσπαραγράφει πάλιν αὖ μάλα ὑπερηφάνως ἐπὶ τελευτῆς 'ταῦτα δυοῖν ἐν ἔτοῖν ἡμῖν μόλις ἐξεπονήθη', τοῖς δ' ἄλλοις ἐν ἅπαντι βίῳ προτιθέναι φησὶ ποιηταῖς μιμεῖσθαι, δηλονότι ὡς οὐδένα ἐφιξόμενον. ἐτέοιν* Meinek.] *ἔτοῖν. ἐν ἔτοῖν* Dind. — p. 523 addit *ὥσπερ εἰς ἀγῶνα καὶ ἅμιλλαν ἅπαντας προκαλούμενος, ὡς οὐδένα ἂν οὐδ' ἐγγὺς ἐλθόντα.* duos annos se huic comoediae componendae inpendisse gloriatur. Bergk. R. c. Att. 224. sunt haec ex fabulae exodo excerpta, sicuti Aristophanes Ranas versibus heroicis finivit. duos annos illos esse quibus non licuerit *ὀνομαστὶ κωμῳδεῖν* opinio est Cobeti Obs. crit. Plat. 24 sq., qui praeterea cum hoc fragmento coniungit fr. 306 (ubi cf. adn.) et (V. 1.² 399 sq.) ex Aristidis verbis addit *τοῖς δ' ἄλλοις ἐν ἅπαντι βίῳ προτίθημι ποιηταῖς | μιμεῖσθαι.* ac similiter iam Bothius.

238

μακάριος ἦν ὁ πρὸ τοῦ βίος
βροτοῖσι πρὸς τὰ νῦν, ὃν εἶχον ἄνδρες
ἀγανόφρονες ἡδυλόγῳ σοφίᾳ βροτῶν περισσοκαλλεῖς.

Bekker. Anecd. 335, 12 *ἀγανόν· καλόν, ἡδύ. Κρατῖνος Χείρωσι κτλ.* 1. *βίος* Bekkerus] *βροτός.* 3. *περισσοκαλλεῖς* Bekkerus] *περισσοκαλεῖς.* duplex σ in melico carmine non offendit. postrema verba codex p. 329, 5 loco alieno hic exhibet: *ἀγαννόφρονες ἡδυλόγῳ σοφίᾳ βρωτων παρὰ* (vel *περὶ*) *σὲ καλεῖς.* cum *βροτοῖσι — ἄνδρες — βροτῶν* tolerari non possint, Herwerdenus Mnem. nov. VI 56 *τρόπων περισσοκαλλεῖς* admodum mediocriter. scribendum videtur *ἀγανόφρονες, ἡδυλόγου σοφίας πόθῳ περ. mitis et dulce loquentis sapientiae amore supra modum pulchri. βροτῶν* natum est librarii dictantem audientis et eorum quae praecesserant perperam recordantis errore.

239

ἁπαλὸν δὲ σισύμβριον ἢ ῥόδον ἢ κρίνον παρ' οὖς ἐθάκει·
μετὰ χερσὶ δὲ μῆλον ἔχων σκίπωνά τ' ἠγόραζον.

Athenaeus 12, 553e *καὶ τὸν ἐπὶ Θεμιστοκλέους δὲ βίον Τηλεκλείδης . . . ἁβρὸν ὄντα παραδίδωσι. Κρατῖνος δὲ ἐν Χείρωσι τὴν τρυφὴν ἐμφανίζων τὴν τῶν παλαιτέρων φησὶν ἁπαλὸν κτλ. ἢ ῥόδον* G. Herm. Elem. d. m. 593] *ῥόδον*. Porsonus (Aristoph. Vesp. 1522) *ῥόδον* delet. 2. *μετὰ* Meinek.] *παρὰ*. *ἕκαστος* post *μῆλον* add. Meinek. *ἠγόραζον*] *ἠγόραζεν* G. Herm. memorabilis locus est Etym. m. Milleri (Mélanges 266) *σισύμβριον· ἔχω παρὰ τὸ οὖς*, qui quamquam Meinekius dubitavit (Herm. III 455) manifesto ad hoc fr. pertinet.

ex eodem cantico haec excerpta videntur atque fr. 238. de sententia cf. Aristoph. Nub. 1006 sq., de rosa cum liliis coniuncta ibid. 910. 11 et quem Meinekius attulit Herod. 2, 95. fuisse qui *σισύμβριον* ab *ἔχων* suspenderent Milleri Etym. docet. mihi (cum Bergkio R. c. Att. 235) *σισύμβριον* subiectum videtur esse v. *ἐθάκει*. quamquam exemplum prorsus simile adferre non possum: nam neque Hom. Il. 8, 14, neque Herod. 9, 57, neque vero Eurip. fr. 1068, 14 N. (ubi *καλεῖται* pro *κάθηται* Nauckius Philol. IIII 547) sufficiunt. de verbo *ἀγοράζειν* cf. Aristoph. Eq. 1373 cum interpr.

240

Στάσις δὲ καὶ πρεσβυγενὴς Κρόνος ἀλλήλοισι μιγέντε
μέγιστον τίκτετον τύραννον,
ὃν δὴ κεφαληγερέταν θεοὶ καλέουσιν.

Plutarchus Pericl. 3 *ὅθεν αἱ μὲν εἰκόνες αὐτοῦ σχεδὸν ἅπασαι κράνεσι περιέχονται. τῶν δὲ κωμικῶν ὁ μὲν Κρατῖνος ἐν Χείρωσι Στάσις κτλ. Κρόνος* x] *Χρόνος. τύραννον*] *τιτᾶνα* x. ex eodem atque fr. 241 cantico vel nullo vel exiguo intervallo excerptum. cf. Sintenis. Plut. Per. excurs. II 298. recte *τύραννον*: perpetuo enim Pericli inimici exprobrabant *τυραννεῖσθαι περιφανῶς* (cf. etiam Plut. 16). ut Iuppiter Saturni ex Rhea filius esse credebatur, sic Periclem Saturno ex Discordia natum dicit propter gravissimas cum Cimone, Thucydide, Myronide, Leocrate inimicitias (cf. Bergk R. c. Att. 236). *κεφαληγερέταν* ridicule forma praesertim dorica Homeri *νεφεληγερέτη* substituit. *καλέουσιν*, ut Hom. Il. 1, 403. Od. 12, 61. Hesiod. Theog. 187 (Sinten. 301).

241

Ἥραν τέ οἱ Ἀσπασίαν τίκτει Καταπυγοσύνη
παλλακὴν κυνώπιδα.

Plutarchus Pericl. 24 *ἐν δὲ ταῖς κωμῳδίαις Ὀμφάλη τε νέα καὶ Δηιάνειρα καὶ πάλιν Ἥρα προσαγορεύεται· Κρατῖνος δ' ἄντικρυς παλλακὴν αὐτὴν εἴρηκεν ἐν τούτοις· Ἥραν κτλ.* Schol. Plat. 391 *Κρατῖνος δὲ Ὀμφάλῃ τύραννον αὐτὴν καλεῖ, χείρων Εὔπολις Φίλοις· ἐν δὲ Προσπαλτίοις Ἑλένην αὐτὴν καλεῖ· ὁ δὲ Κρατῖνος καὶ Ἥραν.* quae Meinekius ita emendavit: *Κρατῖνος δὲ Ὀμφάλην αὐτὴν καλεῖ Χείρωσιν, τύραννον δὲ Εὔπολις Φίλοις.* Hesych. *τυραννοδαίμονα· ἣν οὐκ ἄν τις τύραννον μόνον εἴποι ἀλλὰ καὶ δαίμονα.* — dubitari non potest quin ad Chirones pertineat. *Ἀσπασίαν* delet Cobet. Mnem. nov. I 135. *καταπυγοσύνη* Bergkius R. c. Att. 238 et Emperius] *καὶ καταπυγοσύνην.* de hiatu *τέ οἱ* epicorum modo admisso cf. Aesch. Agam. 1147 *περιβάλοντό οἱ.* Soph. El. 196 *ὅτε οἱ.* Trach. 650 *ἁ δέ οἱ. οἱ* i. e. Crono. nam ut Iuno simul soror et uxor erat Iovis, ita Aspasia certe eodem patre quo Pericles nata fingi debebat. *κυνῶπις* autem dicitur, ut Iuno *βοῶπις.* cf. Eupol. 274.

242

Schol. Aristoph. Nub. 924 et Suidas *Πανδελετείους· μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος Χείρωσιν.* *Pandeletus* non commemoratur nisi his duobus locis.

243

Zenobius 5, 9 *μετὰ Λέσβιον ᾠδόν· παροιμία ταττομένη ἐπὶ τοῖς τὰ δεύτερα φερομένοις . . . μέμνηται . . . Κρατῖνος ἐν Χείρωσι.* Photius *μετὰ Λέσβιον ᾠδόν· παρὰ Κρατίνῳ παροιμία λεγομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων. Λέσβιον ᾠδόν* *Terpandrum* interpretantur, qui in arte canendi tantum ceteris praestare credebatur, ut vel optimi post eum numerandi essent.

244

δωροδοκούντων αἶξ οὐρανία

Zenobius 1, 26 *αἶξ οὐρανία. Κρατῖνός φησι καθάπερ Διὸς αἶγα Ἀμάλθειαν, οὕτω καὶ τῶν δωροδοκούντων αἶγα οὐρανίαν.* similiter Suidas *αἶξ οὐρανία.* ad Chirones haec pertinere docent Photius (et Suidas) *οὐρανία αἴξ· ᾗ οἱ εὐχόμενοι πάντως (πάντων) ἐπετύγχανον· ἴσως διὰ τὸ τὴν Σελήνην αὐτῇ ἐποχεῖσθαι. Κρατῖνος Χείρωσιν.* cum hoc fr. Bergkius R. c. Att. 248 adespoton coniungebat Plut. Mor. 27 *εὐδαίμων Πολίαγρος, οὐράνιον αἶγα πλουτοφόρον τρέφων,* quo Poliager nescio quis ridetur uxoris adulteriis ingentem quaestum faciens. at neque metro, quod apud Cratinum est anapaesticum, neque sententia haec cohaerent. Cratinus enim hoc dicit: 'ei qui se corrumpi patiuntur, hodie tamquam Amaltheae vel Copiae cornu locupletantur'.

245

Βοῦθος περιφοιτᾷ

Herodianus II 947, 25 Lentz. *Βοῦθος Πύθια νικήσας· παροιμία Β. π., Κρατῖνος Χείρωσι.* Zenobius 2, 66 *Βοῦθος περιφοιτᾷ· ταύτης μέμνηται Κρατῖνος ἐν Χείρωσι.* Plut. Prov. 1, 33 *Βοῦθος περιφοιτᾷ· ἐπὶ τῶν ἀσυνέτων καὶ παχυφρόνων, ἀπό τινος Πυθιονίκου Βούθου καλουμένου.* Hesych. (et Suid.) *Β. π.· παροιμία ἐπὶ τῶν εὐήθων καὶ παχυφρόνων, ἀπὸ Βούθου τινὸς μετενεχθεῖσα τοῦ Πύθια νικήσαντος, ὃν ἀναγράφει καὶ Ἀριστοτέλης νενικηκότα.* de genere dicendi cf. fr. 52.

246

Ἰθακησία ὀρτυγομήτρα

ἧς μνημονεύει Κρατῖνος ἐν Χείρωσι Athenaeus 9, 392 f. *Κρατῖνος* Schweigh.] *Κράτης.* de *ortygometra*, quae duce coturnices volant, cf. Plin. N. h. 10, 66 et quae adnotavimus ad Aristoph. Av. 870. sine dubio Ulixes significatur, Achivorum prudentia consilioque princeps.

247

Pollux 10, 186 *καὶ στόμωμα μὲν σιδηροῦν ὅστις ἐν τοῖς ἀποθέτοις σκεύεσιν ἀριθμοῖ, Κρατῖνος ἂν αὐτῷ συναινοῖ λέγων ἐν Χείρωσι Χαλυβδικὸν στόμωμα.* et 7, 107 *Κρατῖνος ἔφη Χαλυβδικὸν στόμωμα.* cf. Steph. Byz. *Χάλυβες. Εὔδοξος ἐν πρώτῳ 'ἐκ δὲ τῆς Χαλύβων χώρας ὁ σίδηρος ὁ περὶ τὰ στομώματα ἐπαινούμενος ἐξάγεται... λέγεται καὶ μετὰ τοῦ δ Χαλυβδικός τὸ κτητικόν'.*

248

Hesych. *αὐτόφορτοι· αὐτοδιάκονοι. κυρίως δὲ οἱ ἐν τοῖς ἰδίοις πλοίοις . . . ὁ δὲ Κρατῖνος ἐν Χείρωνι τοὺς τὰ κοινὰ φορτιζομένους ἔφη. αὐτόφορτος* cum significet aut una cum merce (*αὐτῷ φόρτῳ*) aut eum qui *suam* mercem *sua* nave vehit, Cratinus eos qui pecunias *publicas* in suum usum avertebant voce a *φόρτος* derivata non *αὐτοφόρτους*, sed *κοινοφόρτους* dicere debebat, atque id ipsum apud Hesychium inserendum censeo: *τοὺς τὰ κοινὰ φορτιζομένους κοινοφόρτους ἔφη.*

249

βιβλιαγράφον

(*εὑρήσεις*) *παρὰ Κρατίνῳ ἐν Χείρωσι.* Poll. 7, 211. *βιβλιαγράφον* Lob. Phryn. 655] *βιβλιογράφον.* *iudicialium libellorum* auctorem Cratinus dicere videtur.

Ad Chirones fr. 305 incerta admodum coniectura referebat Bergk. R. c. Att. 230.

ΩΡΑΙ

Neque de argumento neque de tempore constat. fuerunt Horae etiam Aristophanis et Anaxilae.

250

ἀλλ' ἦν ὅτ' ἐν φώσωνι τὴν ἴσην ἔχων
μετ' ἐμοῦ διῆγες οἴναρον, ἕλκων τῆς τρυγός.

Pollux 6, 18 τὸν δὲ οἶνον καὶ τρύγα ἐκάλουν, ὡς ἐν Ὥραις Κρατῖνος. 1 om. A. τὴν ἴσην ἔχων Lob. Phryn. 73] τὴν οἱ συνέχων. Poll. 7, 71 ὁ φώσων χιτὼν Αἰγύπτιος, ἐκ παχέος λίνου, ἤ που δὲ καὶ τὸ ἡμιφωσώνιον. cf. Aristoph. fr. 784. ἐν φώσωνι, i. e. φώσωνα ἠμφιεσμένος. cf. Hemsterhus. Aristoph. Plut. 479 ed. Lips. τὴν ἴσην, i. e. μοῖραν, quod Meinekius recepit pro οἴναρον. in eo potius σμικρόν (σμικρὸν ἕλκων τῆς τρυγός) latere videtur. Aristoph. Vesp. 878 μικρὸν μέλιτος. Eubul. 42, 4 ἑκάστου μικρόν, Alexid. 83, 3 στεατίου μικρόν. τῆς τρυγός, ut Aristoph. fr. 109, 4. τρύξ 'de vino recenti et vili'. Meinek. — conloquitur nescio quis, qui in tenui sorte permanserat, cum altero in lautiorem evecto.

251

μῶν βδελυγμία σ' ἔχει;
πτερὸν ταχέως τις καὶ λεκάνην ἐνεγκάτω.

Pollux 10, 76 καὶ γὰρ ἵνα ἐξεμοῦσι καὶ τοῦτο λεκάνην ὠνόμαζον, ὡς Κρατῖνος ἐν Ὥραις. cf. Aristoph. Ach. 584—588 et Nub. 907 cum interpr.

252

ταῦτ' αὐτὰ πράττω, 'φασκ' ἀνὴρ οὐδὲν ποιῶν.

Photius et Suid. ταῦτα πράσσων φάσκ' ἀνὴρ οὐδὲν ποιῶν. Κρατῖνος Ὥραις· ἡ γὰρ παροιμία ἐπὶ τῶν μηδὲν ποιούντων. correxit Dobraeus Advers. I 610. quod coniecit Cobet. Mnem. VII 476 τί ταῦτα πράττω, id dudum repertum a Toupio Emend. II 232 multo inferius est Dobraei emendatione.

253

ἴσως πυρορραγὲς κακῶς τ' ὠπτημένον.

Suidas πυρορραγής· πυρορραγῆ κεράμια καλεῖται ὅσα ἐν τῷ πυρὶ ῥήγνυται ἐν τῷ ὀπτᾶσθαι. Κρατῖνος ἐν Ὥραις. Pollux 7, 164 πυριρραγής Κρατίνου εἰπόντος ἐν Ὥραις. πυριρραγῆ Schol. Ven. Il. 2, 219 'forma minus obvia et fortasse a librariis passim oblitterata'. Schaef. Greg. Cor. 8 adn. pro ἴσως Pors. Adv. 285 ἴδ' ὡς. at ἰδέ comicis ignotum. ceterum cf. Aristoph. Ach. 934.

254

ἔδει παρέχειν ὅ τι τις εὔξαιτ' ἐμβραχύ.

Schol. Platonis 384 Bekk. *ἔμβραχυ οὖν συντόμως καὶ ἁπλῶς . . . Κρατῖνος Ὥραις.* Elmsleius Edinb. Rev. 1810 p. 238 *ἔδει σε παρέχειν. ἔδει παρασχεῖν* Cobet. V. l.² 208, plura simul exempla vocis *ἐμβραχύ* adferens. Herodian. I 507, 3 Lentz *ἀντικρύ, ὅτε χωρὶς τοῦ σ· . . . ὡς καὶ τὸ ἐμβραχύ σημαῖνον τὸ ἁπαξαπλῶς ἢ καθάπαξ. ἐμβραχύ* 'eodem fere modo quo formula illa *ὡς ἔπος εἰπεῖν orationi modeste restringendae inservit*, nisi quod illa fere ante *οὐδέν* et *πάντες* inferri solet, hoc ante *ὅστις ἄν* et talia'. Heindorf. Plat. Gorg. 457 a. ceterum poeta loqui videtur de cornu copiae.

255

ἐκεῖνος αὐτὸς ἐκμεμαγμένος.

Pollux 9, 131 *καὶ ἐκμαγεῖον καὶ ἐκμεμαγμένον. οὕτω γὰρ καὶ Κρατῖνος ἐν ταῖς Ὥραις. αὐτὸς] αὐτός ἐστιν* Herwerd. Nov. add. crit. 3. possunt multa alia suppleri. Aristoph. Thesm. 514 *λέων σοι γέγονεν, αὐτέκμαγμα σόν.* etiam Cratinus filii cum patre similitudinem videtur significare.

256

ἴτω δὲ καὶ τραγῳδίας
ὁ Κλεομάχου διδάσκαλος,
παρατιλτριῶν ἔχων χορὸν
λυδιστὶ τιλλουσῶν μέλη
πονηρά.

Athenaeus 14, 638 f *σκώπτει δὲ αὐτὸν (Γνήσιππον) ἐς τὰ ποιήματα καὶ ἐν Βουκόλοις . . . ἐν δὲ ταῖς Ὥραις ἴτω δὲ κτλ. παρατιλτριῶν* Toup. Emend. I 212] *μετὰ τῶν παρατιλτριῶν.* in dimetros rectius haec digeri viderunt Meinekius et Cobetus N. l. 31. de *Gnesippo* cf. fr. 15. 97. de *παρατιλτρίαις* Aristoph. Ran. 516 cum interpr. Gnesippi choreutarumque eius mollitiem exagitat in ambiguo ludens: *τίλλειν μέλη* enim est '*membra depilare*' et '*carmina discerpere*', *λυδιστί* autem et ad numerorum mollitiem et ad morem membra depilandi referri potest.

257

ἐφθάρη μαρίλης τὴν φάρυγα πλέαν ἔχων.

Suidas *μαρίλη· ἀμαυρὸν πῦρ· ὁ χνοῦς καὶ τὸ λεπτότατον τῶν ἀνθράκων . . . Κρατῖνος ἐν Ὥραις κτλ. φάρυγα* Dobr. Aristoph. Eq. 523] *φάρυγγα· φάρυξ φάρυγος* Atticos dixisse testatur etiam Herodian. I 45, 4. II 598, 1 Lentz. *μαρίλης*, cf. Aristoph. Ach. 350. est tetrameter trochaicus, uno pede brevior, qui varie suppleri potest.

258

μακάριος τῶν παιδικῶν

Photius, Suid. (Schol. Ald. Aristoph. Vesp. 1025) *παιδικά· . . . ἐκάλουν οὕτως καὶ τὰ πρὸς τὰς γυναῖκας . . . Κρατῖνος δὲ Ὥραις, τῆς παλλακῆς ἀποδημοῦντος τοῦ Διονύσου ἐρώσης, φησὶν ἐπ' αὐτοῦ μακάριος τῶν παιδικῶν.* Schol. Aristidis p. 64 ed. Fromm. *παιδικὰ . . . κέχρηται δὲ Κρατῖνος καὶ ἐπὶ γυναικὸς ἐν Ὥραις. Ὥραις*] *ὁραῖς* cod. Phot. et omnes Suid. cf. Dind. Schol. Aristoph. Vesp. 1025. Cramer. Anecd. Par. IIII 173, 13 *και Κρατῖνος δε ὁρᾶς* (sic) *της παλακης ἀποδημουντος σου* (sic etiam Phot. cod.) *Διονυσου ερωσης φησιν επαυτον μακαριος των παιδικων.* nomen *Διονύσου* corruptum videtur. cf. fr. 208.

259

ὥσπερ ὁ Περσικὸς ὥραν πᾶσαν καναχῶν ὀλόφωνος ἀλέκτωρ.

Athenaeus 9, 374d *λέγεται δὲ καὶ ἀλεκτορὶς καὶ ἀλέκτωρ . . . Κρατῖνος Ὥραις. ὀλόφωνος* Casaubonus] *ολόφωνος* A. *ὁ λοφωτὸς* Palmerius Exercit. 510. Phot. *ὀλόφωνος* (nescio an *ὀλ.* Pors.)· *ὁ ἀλεκτρυών· οὕτως Κρατῖνος.* Hesych. *ὀλόφωνος· ὁ ἀλεκτρυών, ἢ ἀπὸ τοῦ λόφου, ἢ ἀπὸ τοῦ ἐν τῷ ᾄδειν ὅλον αἴρεσθαι καὶ μετεωρίζεσθαι.* quibus Palmerii *λοφωτός* explicari videtur. Casaubonus '*qui totus vox est, praeterea nihil*', quae interpretatio non minus dubia est quam Meinekii *ὀλόφωνος perpetuo clamore enecans. Persicam* avem dicit ut Aristoph. Av. 276.

260

οὐδὲ πρὸς εἶδος ἄρ' ἦν οὐδὲν προσιδόντι τεκμαρτόν.

Hephaestio 1, 18 *παρ' αὐτῷ τῷ Κρατίνῳ . . . ἐν Ὥραις.* sic Turn. *εἶδος οὐδὲν ἄρ' ἦν οὐδὲν* C. 'et puto M.' Gaisf. *ἄρ' οὖν οὐδέν τι* FH. *προσιδόντι*] *προσιδόντες* FH.

261

Schol. Aristoph. Av. 766 *οὐδὲν σαφὲς ἔχομεν τίς ὁ Πεισίου οὐδὲ περὶ τῆς προδοσίας. ὅτι δὲ τῶν λίαν πονηρῶν ἐστι δηλοῖ Κρατῖνος ἐν Χείρωσι Πυλαίᾳ Ὥραις.* cf. fr. 174. 233.

262

Schol. Lucian. p. 46 Iacob. *Κρατῖνος δὲ ἐν Ὥραις ὡς προσελθόντος νέου τῷ βήματι (Ὑπερβόλου) μέμνηται καὶ παρ' ἡλικίαν.* scholiastam *νέου* perperam pro *νέον* ex eo quem exscripserit excerpsisse et verba *καὶ παρ' ἡλικίαν* de suo addidisse probabiliter conicit Mueller-Struebing. Aristoph. p. 560 adn. itaque ea quae ex

scholiastae verbis concludit Wilamowitzius Obs. crit. 29. 30 admodum incerta sunt.

263

Bekker. Anecd. 394, 21 *Ἀνδροκολωνοκλῆς* ἀντὶ τοῦ μίσθιος. Κρατῖνος γὰρ Ὥραις ἀντὶ τοῦ φάναι μίσθιον Ἀνδροκλέα, οὕτως ὑφ' ἓν καὶ διὰ μιᾶς λέξεως ἔφη διὰ τὸ εἶναι ἐκ Κολωνοῦ. μίσθιος — μίσθιον Meinek.] ἠλίθιος — ἠλίθιον. Ἀνδροκλέα Fritzschius Act. soc. gr. I 145] Ἐτεοκλέα. de *Androcle* Pitthensi cf. Ecphant. 4. Cratin. 208. *Coloni* commemoratio non ad patriam, sed ad condicionem hominis videtur pertinere, siquidem in Colono *forensi* mercennariorum erat statio. cf. Aristoph. Av. 998 cum interpr. et Wachsmuth. Ath. I 178 adn. 5. 348sq. itaque paupertatem Androcli videtur exprobrare.

264

ψήφισμα ἔθηκεν

ἀντὶ τοῦ ἔγραψε. Κρατῖνος Ὥραις, Πλάτων Ποιητῇ (fr. 115). Bekker. Anecd. 116, 21.

265

γαλιδέως

Κρατῖνος. λέγει δὲ ὡς τὸν εὐτελῆ καὶ ὡς γαλὸν παῖδα γαληδέα. Hesych. Bekker. Anecd. 88, 3 *γαλιδεύς*· ὁ τῆς γαλῆς σκύμνος. Κρατῖνος Ὥραις. Ruhnkenius (in Hesych.) λέγει δὲ οὕτως τὸν εὐτελῆ καὶ ὡς γαλῶν (γαλῆς Mein.) παῖδα γαλιδέα. γαλιδέως M. Schmidt.] γαλίδεως. est genetivus a γαλιδεύς.

266

Hesychius *κήτιον*. μέγαν, καὶ ᾧ τὰς ψήφους διωθοῦσιν ἐν τοῖς κληρωτηρίοις. καὶ ἐμετήριον, ἀπὸ λαχάνου ἀγρίου (?) ὅπερ ἀντὶ πτερῶν εἰς τὸ στόμα καθίεσαν, ὡς Κρατῖνος ἐν Ὥραις σημαίνει. confundit Hesychius κήτειον (a κῆτος) *inmanem*, γήτειον, κήθιον vel κηθίδιον, κηθάριον (Aristoph. Vesp. 674). hoc extremum Cratinus videtur commemorasse, non vasculum ᾧ τὰς ψήφους διωθοῦσιν (διηθοῦσιν?) ἐν τοῖς κληρωτηρίοις, sed quo ad vomendum utebantur.

267

Hesych. *μυσικαρφί*· Κρατῖνος ἐν Ὥραις. οἱ μὲν ἀνέγνωσαν ὡς ἀκονιτὶ καί φασιν ὅτι τὸ μεμυκότως καὶ ξηρῶς ποιεῖν (γελᾶν M. Schmidt) οὕτω λέγουσιν. ἢ ὡς ὀνομαζομένου τινὸς οὕτω καὶ μηδὲν ἀφ' ἑαυτοῦ γλαφυρὸν σκώπτοντος, ἀλλ' ἐπιγελῶντος ἀηδῶς. ὄνομα γάρ ἐστι Μυσίκαρφος, οὗ μνημονεύει καὶ Ἀπολλοφάνης ὁ κωμικός (8). ὥς τινες δὲ τὸν Ἀρχίμαχον. Photius *Μυσικάρφης*·

ὄνομα *Μυσικάρφους*, οὗ μνημονεύει Ἀπολλοφάνης ἐν Κρησίν (8). Ἀρίσταρχος δὲ ἐπ' ὀνόματος τινὰ ἀηδῶς ἐπιγελῶντος· οἱ δὲ ἀνέγνωσαν μυσικαρφεί, ὡς ἀκονιτί· τὸ μεμυκότως καὶ ξηρῶς, μὴ ἐκ φανεροῦ γελᾶν. Κρατῖνος Ὥραις. ἀηδῶς Meinekius pro ἡδέως.

268

ξυστίς

Harpocr. et Photius. γυναικεῖόν τι ἔνδυμά ἐστιν ἡ ξυστὶς πεποικιλμένον . . . ἔστι μέντοι καὶ τραγικόν τι ἔνδυμα οὕτω καλούμενον, ὡς Κρατῖνος ἐν Ὥραις. cf. Aristoph. Nub. 70 cum interpr.

269

προσκεφάλαιον

τὸ ναυτικὸν ὑπηρέσιον ἰδίως ἐν ταῖς Ὥραις Κρατῖνος Pollux 10, 40. Schol. Thuc. 2, 93 ὑπηρέσιόν ἐστι τὸ κῶας ᾧ ἐπικάθηνται οἱ ἐρέσσοντες διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς. cf. Hermipp. 54. Aristoph. Eq. 785 cum interpr.

270

Harpocratio ῥυτὰ συνεσταλμένως (i. e. ῠ) εἶδος ποτηρίου. ἐκτεταμένως (ῡ) τὰ παρ' ἡμῖν λεγόμενα ὁμοίως, Κρατῖνος ἐν Ὥραις. Photius ῥυτά· πήγανα. οὕτως Κρατῖνος. *rutam* dicit (Varr. L. l. 5 p. 40). Ovid. Rem. am. 801 *acuentes lumina rutas*.

271

φελλέα

Harpocrat. τὰ πετρώδη καὶ αἰγίβοτα χωρία φελλέας ἐκάλουν. Κρατῖνος Ὥραις, Ἀριστοφάνης Νεφέλαις (71), ubi cf. quae adnotavimus. cf. etiam Cratin. 86.

272

ὡραΐζεσθαι

Κρατῖνος Ὥραις. Bekk. Anecd. 116, 30.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

273

πιεῖν δὲ θάνατος οἶνον ἢν ὕδωρ ἐπῇ.
ἀλλ' ἴσον ἴσῳ μάλιστ' ἀκράτου δύο χόας
πίνουσ' ἀπ' ἀγκύλης ἐπονομάζουσ' ἅμα
ἵησι λάταγας τῷ Κορινθίῳ πέει.

Athenaeus 11, 782d p. 1038 Dindf. ἀγκύλη· Κρατῖνος κτλ. Eustathius 344, 28. 1. ἢν Meinek.] ἄν. ἐπῇ] scribendum ἐνῇ. 3. ἐπονομάζουσ' ἅμα Meinek. Anal. Ath. 214] ἐπονομάζουσα. ἐπονο-

μάζουσ' ἀεὶ Iacobs. Athen. 248. — cum v. 2 bene contulit Herwerdenus Stud. crit. 77 Sophil. 3 ἄκρατος ἐδίδοτ' ἴσον ἴσῳ. ἀγκύλην melius quam hic, ubi poculi genus esse somniat, Athenaeus interpretatur 667 c ἐκάλουν δ' ἀπ' ἀγκύλης τὴν τοῦ κοττάβου πρόεσιν διὰ τὸ ἀπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τοῖς ἀποκοτταβισμοῖς. cf. Antiphan. 55, 15. — ἐπονομάζουσα] Schol. Theocr. 14, 17 εἰώθασι . . ἐν τοῖς συμποσίοις ἄκρατον λαμβάνειν καὶ ὀνομάζειν τινὰς ἐρωμένους ἢ φίλους καὶ ἐπιχεῖν τῇ γῇ. Eubul. 56, 6. Philetaer. 1. Clearch. 1. oratio admodum contorta: sic enim exspectari poterat πίνουσα ἐπονομάζουσά τε τῷ Κορινθίῳ πίει ἀπ' ἀγκύλης ἵησι λάταγας. itaque videndum an pro ἐπονομάζουσ' scribendum sit ἀπακοντίζουσ'. ceterum Cratinus παρῳδεῖ Euripidis Stheneboeam fr. 667 Nauck. πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερός, ἀλλ' εὐθὺς αὐδᾷ 'τῷ Κορινθίῳ ξένῳ'. cf. Aristoph. Thesm. 404 τῷ κατέαγεν ἡ χύτρα; οὐκ ἔσθ' ὅπως οὐ τῷ Κορινθίῳ ξένῳ.

274

πρὸς τοῦ Σόλωνος καὶ Δράκοντος οἷσι νῦν
φρύγουσιν ἤδη τὰς κάχρυς τοῖς κύρβεσιν.

Plutarch. Sol. 25 προσηγορεύθησαν (οἱ Σόλωνος νόμοι) ὡς Ἀριστοτέλης φησί, κύρβεις· καὶ Κρατῖνος ὁ κωμικὸς εἴρηκέ που πρὸς τοῦ Σόλωνος κτλ. κάχρυς Steph. et A] κάγχρυς BC. τοῖς κύρβεσιν Porson. Adv. 284 Lips.] ταῖς codd. Plut., qui sine dubio etiam αἷσι. de genere dissentiunt Porsonus et Valckenarius Diatr. Eurip. 221 c. Aristoph. Av. 1354 ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν cod. Ven. τοῖς. cf. quae adnotavimus ad Aristoph. Nub. 448. sententiam sic explicat Meinekius πρὸς τῶν κύρβεων, οἷς νῦν φρύγουσι, 'τοῖς κύρβεσι nota attractione dictum pro τῶν κύρβεων'. sed praeterquam quod hoc quidem adsimilationis genus nequaquam notum est in multis variisque eius generibus, cur πρός hic non significet '*prope* legum tabulas' nullam video causam. cf. Aristoph. Lys. 633 ἀγοράσω . . . ἑξῆς Ἀριστογείτονι. eas tabulas iam ita contemni dicit, ut in cibis adparandis eis utantur.

275

τῇ μάστιγι κνάψειν εὖ μάλα
ἢ συμπατῆσαι.

Pollux 7, 38 τοῦ δὲ κνάπτειν ἡγεῖται τὸ πατῆσαι, ὡς Κρατῖνος ὑποδηλοῖ παίζων. translatio petita est ab opere fullonio. Hippocr. De victu san. 1, 8 οἱ γναφεῖς λακτίζουσι, παίουσι, κόπτουσιν, ἕλκουσι. cf. Schneid. Script. R. r. IIII 385 b. temporum quibus Pollux usus est ratio simul et verba ipsius paene cogunt scribere πρὶν συμπατῆσαι.

276

τοὺς ἐξοδίους ὑμῖν ἵν' αὐλῶ τοὺς νόμους.

Suidas *ἐξόδιοι νόμοι· αὐλήματα δι' ὧν ἐξήεσαν οἱ χοροὶ καὶ οἱ αὐληταί. οὕτω Κνατῖνος.* eiusmodi cantica exodia Aelius Dionysius Eustath. 239, 20 quaedam commemorat, rhapsodicum hoc: *νῦν δὲ θεοὶ μάκαρες τῶν ἐσθλῶν ἄφθονοι ἔστε*, tragicum *πολλαὶ μορφαὶ τῶν δαιμονίων* (Mein.). sic extremum Ranarum canticum exodium est.

277

τὴν χεῖρα μὴ 'πίβαλλε, μὴ κλάων κάθῃ.

Zonaras 1168 *Κρατῖνος τὴν χεῖρα . . . κάθῃ. λέγει γὰρ τὸ ὑποτακτικὸν ἀπὸ τοῦ κάθημι (κάθημαι). καθῇς* K. Mus. Rhen. XXX 415] *κάθῃ.* cf. Aristoph. Av. 364. Euphron. 1, 24. Plat. Phaed. 61c et quae disputavi in Mus. Rh.

278

εἰ πρῶτος ἔλθοις κἂν καθίζεσθαι λάβοις.

Zonar. 1169 *λέγουσι δὲ καὶ καθίζανε . . . Κρατῖνος εἰ πρῶτος κτλ.*

279

ἐφ' ᾧ τ' ἔμ' αὐτὴν συγκαθεύδειν τῷ πατρί.

Zonaras 929 *ἐφ' ᾧ τε . . . καὶ ὁριστικῷ συντάσσεται καὶ ἀπαρεμφάτῳ . . . Κρατῖνος ἐφ' ᾧ κτλ.* — *ἔμ' αὐτὴν* K.] *ἐμαυτήν.* Tittmanni dubitatio de auctore versus inrita est. unam memini quae haec loqui possit. Dio Chrysost. 66, 6 *τῇ δὲ Πελοπίᾳ ὁ πατὴρ ἐμίχθη καὶ τὸν Αἴγισθον ἔσπειρεν.* Hygin. Fab. 87. 88.

280

ὁ τάλαρος ὑμῖν διάπλεως ἔσται γάρου.

Athenaeus 2, 67c *γάρος· Κρατῖνος.* Pollux 6, 65 *Κρατῖνος ὁ τάλαρος κτλ. ὑμῖν* Poll.] *ὑμῶν* Athen. BCD, *ἡμῶν* VL. *ἔσται* om. Poll. — at *τάλαρος*, *qualus vimineus* (Poll. 10, 125) quo modo plenus esse possit *γάρου*, vix intellegitur. fort. *ὁ κάδος ἄρ'* vel *ὁ γὰρ κάδος.* ad *Νόμους* referri potest. cf. fr. 121. 125.

281

ποιμὴν καθέστηκ' αἰπόλος καὶ βουκόλος.

Dio Chrysost. Orat. 56 init. *ἢ οὐκ ἀνέγνωκας τοῦτο τὸ ἔπος Κρατίνου· ποιμὴν κτλ. καθέστηκ'* Bergk. R. c. Att. 34] *καθέστη.* ad Bubulcos rettulit Bergkius; fortasse ad Dionysalexandrum pertinet.

282

τοῦτον μὲν οὖν καλῶς διεπηνίκισας λόγον.

Etymol. m. 269, 31 διαπηνικίζω· ἀπατῶ. Κρατῖνος . . . εἴρηται ἀπὸ τῆς πηνίκης, ἥ ἐστι περιθετὴ κόμη, ὡς ἡ φενάκη ἢ τοὺς ὁρῶντας ἀπατᾷ ὡς φύσει οὖσα. τινὲς δὲ τὸ ποικίλλω ἐξηγοῦνται. ἀπὸ τῶν πηνῶν ἢ πηνίων ὄντων ποικίλων, ἵν' ᾖ πηνίζω καὶ (μὴ add. Fritzschius) πηνικίζω. οὖν add. Meinek. recte Fritzschius (Aristoph. Ran. p. 243) verbo διαπηνίζειν usum esse Cratinum statuit. sed cum Etym. Milleri (Mélanges 87) διεπηνήκισε praebeat pro διεπηνίκισας, scribendum censeo διεπήνισε τὸν λόγον. Aristoph. Ran. 578 ἐκπηνιεῖται.

283

ἔχων τὸ πρόσωπον καρίδος μασθλητίνης.

Etymol. m. 491, 40 καρίς· ὡς παρὰ Κρατίνῳ ἔχων — μασθλητίνης. ἀντὶ τοῦ δερματίνης. Eupolidis Δήμοις tribuit Athen. 3, 106 b. τὸ deest in Etymologico. cum Athenaeus etiam fabulam nominet, veri similius est Eupolidis versum esse, nisi forte uterque poeta casu eundem versum finxit. cf. Telecl. 43. Luc. Dial. mer. 14, 4 τὴν χρόαν οἷος κάραβος.

284

ἄκουε, σίγα, πρόσεχε τὸν νοῦν, δεῦρ' ὅρα.

Bekker. Anecd. 372, 10 ἄκουε σίγα. Κρατῖνος. 369, 15 ἄκουε· ἀντὶ τοῦ σίγα. Κρατῖνος. οἷον τόπον δίδου διὰ τῆς σιγῆς τῇ ἀκοῇ. contulit Meinekius Aristoph. Thesm. 382 σίγα, σιώπα, πρόσεχε τὸν νοῦν. tamen nescio an inter duas personas haec distribuenda sint: A. ἄκουε. B. σίγα. A. πρόσεχε τὸν νοῦν. B. δεῦρ' ὅρα.

285

ἄκουέ νυν καὶ τήνδε τὴν ἐπιστολήν.

Zonaras 804 ἐπιστολή· ἐπίσκηψις, ἐντολή. Κρατῖνος. ἄκουέ νυν K.] ἄκουε νῦν. cf. fr. 224.

286

καὶ μὴ πρόσισχε βαρβάροισι βουκόλοις.

Photius πρόσισχε· τὸ πρόσεχε. Κρατῖνος. ad Bubulcos referebat Bergkius R. c. Att. 34. ad Dionysalexandrum potius pertinere videtur: fortasse Iuno Iovi Ganymedis amorem exprobrat.

287

ἡ παῖς γὰρ ἔμπαις ἐστὶν ὡς ἠνδρωμένη.

Pollux 3, 14 ἄπαις ἄτεκνος φιλόπαις φιλότεκνος καὶ τὰ ὅμοια· παρὰ δὲ Κρατίνῳ ἔμπαις. sic C; εὔπαις AB Bekkeri. integrum Cratini versum sine nomine auctoris servavit Hesych. ἠνδρωμένη· ἀνδρὸς πεπειραμένη· ἡ παῖς — ἠνδρωμένη. ἀντὶ τοῦ συνελθοῦσα ἀνδρί. Phot. ἠνδρωμένη· παρθένος ἢ γεγαμημένη. si Pollucis εὔπαις recte se habet, cum id verbis ὡς ἠνδρωμένη parum conveniat, dubium esse potest an Hesychii versus non sit Cratini. fort. scribendum ἔκπαις, *in infantium numero iam non referenda.*

288

οὐδ' ὑδατοπωτῶν οὐδὲ κοιλοφθαλμιῶν.

Pollux 4, 184 τάχα δὲ καὶ τὸ κοιλοφθαλμιᾶν, οὐκ ἴδιον μὲν γινόμενον ἐν ὀφθαλμοῖς νόσημα, συμβαῖνον δὲ κοιλαίνεσθαι τοὺς ὀφθαλμοὺς ἐξ ἄλλου νοσήματος. οὐδ' — κοιλοφθαλμιῶν, φησὶν ὁ Κρατῖνος. ὑδατοπωτῶν Pors. Adv. 284] ὑδατοποτῶν. cf. Lob. Phryn. 456. si de se poeta loquitur, versus fortasse ad Pytinen referendus est.

289

τούτου δ' ἁπάσας ἀποτεμῶ τὰς μηχανάς.

Bekker. Anecd. 28, 29 ἀποτεμεῖν μηχανάς· Κρατῖνος. ὑποτεμῶ Cobet. N. l. 148.

290

ἀνδρῶν ἀρίστων πᾶσα γαργαίρει πόλις.

Schol. Arist. Acharn. 3 Suidas ψαμμακοσιογάργαρα· καὶ Κρατῖνος ἀνδρῶν κτλ. ἀνδρῶν ἀρίστων Kusterus] ἀρίστων ἀνδρῶν Ald. ἀνδρῶν ἀρίστων μάρμαιρε (suprascr. κάρκαιρε) Laur. καρκαίρει C. Suid. at cum nulla urbs *optimis* civibus abundet et γαργαίρειν de malis fere praedicetur, scribendum videtur, μάλιστ' ἀνάνδρων vel ἀνδρῶν ἀνάνδρων.

291

ἀλλ' οὖν θεῷ σπείσαντ' ἄμυστιν δεῖ πιεῖν.

Schol. Euripid. Rhes. 419 ἄλλοι δὲ ἐπὶ τῆς ἀπνευστὶ πόσεως τάττουσι τὸ ὄνομα (ἄμυστις), ὡς Κρατῖνος. θεῷ σπείσαντ' ἄμυστιν — πιεῖν L. Dindf.] θεὸν πείσαντες μῦστιν ποιεῖν A (πιεῖν sec. Cobet.). 'locus fort. ex Pytine petitus'. Meinek.

292

ὅνπερ Φιλοκλέης τὸν λόγον διέφθορεν.

Schol. Sophoclis Antig. 404 ὃν σὺ τὸν νεκρὸν ἀπεῖπας] τὸ ἑξῆς· τὸν νεκρὸν ὃν σὺ ἀπεῖπας θάπτειν. οὕτω δὲ χρῶνται οἱ πα-

λαιοὶ ὥστε δύο ἄρθρα, προτακτικόν τε καὶ ὑποτακτικόν, κατὰ τοῦ αὐτοῦ ὀνόματος παραλαμβάνειν. Κρατῖνος ὅνπερ κτλ. de *Philocle* cf. Aristoph. Av. 281 cum interpr. et de syntaxi praeter Antig. 404 Soph. OCol. 907 sq.

293

ὦ μεγίστη γλῶττα τῶν Ἑλληνίδων.

Aristides 45, 19 *ὦ μεγίστη σὺ γλῶττα τῶν Ἑλληνίδων, ἔφη Κρατῖνος.* et 46, 129 *οὐκοῦν τῶν μαρτύρων ἡμῖν τῶν εἰς τοὺς λόγους κεκλημένων τῷ Περικλεῖ καὶ οἷς οὐκ ἐλάχιστον μετεῖναι φαίημεν ἂν τῆς περὶ ταῦτα ἐμπειρίας, ὁ μὲν τῶν Ἑλληνίδων μεγίστην τὴν ἐκείνου γλῶτταν εἴρηκε. ἴθ' ὦ* Meinekius. at quidni *ἀλλ' ὦ* vel quidvis aliud?

294

ἄρχων εἰμὶ νῦν Ἀθηναίοις ἐγώ.

Herodianus Philet. p. 441 Piers. *ἄρχει Ἀθηναίοις. καὶ ὁ Κρατῖνος ἄρχων — ἐγώ. ὅτι καὶ κατὰ τοὺς νόμους ἡ ἀρχή.* Piersonus *ἄρχων γάρ εἰμι.* fortasse ad Bubulcos referendum et is archon intellegendus, qui Cratino chorum negavit eiusque rei rationem sibi esse reddendam utpote archon negat.

295

δασὺν ἔχων
τὸν πρωκτὸν ἅτε κυρήβι' ἐσθίων.

Etymol. m. 512, 8 *κυρηβίων· καθαρματῶδές ἐστι τὸ ὄνομα. κυρήβια γὰρ κυρίως τὰ ἀποβράσματα τῶν κυάμων Κρατῖνος. κυρηβίων — κυρήβι'* Kulenkampius] *κηρυβίων — κηρύβι'.* Cobetus N. l. 147 non trimetros, sed unum tetrametrum trochaicum esse statuit, supplens in fine *ἀεί* (in Etym. post *ἐσθίων* legitur *εἰ μή*). *Eucratem* Melitensem traduci Meinekii est sententia. cf. Aristoph. Eq. 129 et 254 cum interpr. Epicratem aequalem Demosthenes (19, 287) *Κυρηβίωνα* adpellavit.

296

ὃς τὴν πίτυν
ἔκαμπτεν ἑστὼς χαμάθεν ἄκρας τῆς κόμης
καθέλκων.

Priscian. 18, 306 *χαμάθεν quod est 'a loco' Cratinus pro 'in loco' posuit, ὃς — καθέλκων. melius tamen distinguendum ἑστώς, et iam bene a loco accipitur χαμάθεν 'ab humo'.* codicum Prisciani varietas nihil ad rem facit. pro *ὃς τὴν πίτυν* Scaliger *ὅστ' ἐν Πυτίνῃ*, Meinekius ed. min. VII *ὅστις ἐν Πυτίνῃ*. neutrum con-

GENERAL LIBRARY University of MICHIGAN

suetudini Prisciani adcommodatum est, qui librorum graecorum titulos saepe graece scribit, ipse semper latine loquitur. utique scribendum χαμᾶθεν. cf. Cobet V. l.[2] 89, qui N. l. 149. 50 ὃς τὰς πίτυς ἔκαμπτεν | ἑστὼς χαμᾶθεν ῥᾳδίως ἄκρας κόμης καθέλκων. 'quod, credo, facere dicebatur Sinnis ipse ὁ πιτυοκάμπτης. Ovid. Met. 7, 440.' excogitari praeterea possunt multa, certi nihil.

297

ἀλλ' εἴσιθ' εἴσω καὶ πιοῦ-
σα χυλὸν ἀναπαύου κακῶν.

Pollux 6, 61 Κρατῖνος δὲ καὶ χυλὸν πιεῖν εἴρηκεν. excerptum est ex systemate iambico. χυλός est *ptisanae sucus*, quo pro medicamento utebantur. cf. Aristoph. Pac. 997. Ran. 943 cum interpr.

298

ὡς ἄνω τὴν μασχάλην αἴρωμεν ἐμπεπωκότες.

Hesych. μασχάλην αἴρειν· κωθωνίζεσθαι καὶ πίνειν. ὡς ἄνω κτλ. ἐν τῷ μεθύειν αἴρειν ἄνω τὴν μασχάλην. εἰώθεισαν γὰρ λέγειν μασχάλην αἴρεις ἀντὶ τοῦ κωθωνίζειν, καὶ καταμωκᾶσθαι ταῖς χερσίν. Cratini versum esse docet Zenobius 5, 7 μασχάλην αἴρειν· ἀντὶ τοῦ κωθωνίζεσθαι καὶ πίνειν. Κρατῖνος ὡς ἄνω τὴν μασχάλην αἴρειν, καταμωκωμένους ταῖς χερσίν. Proverb. Bodlei. 625 Κρατῖνος ἄνω τὴν μασχάλην αἴρεις, ἀντὶ τοῦ κωθωνίζῃ. Bekker. Anecd. 356, 30 αἶρε τὴν μασχάλην· ἐπὶ τοῦ ὀρχήσασθαι. Phot. μασχάλην αἴρεις ἀντὶ τοῦ καθωμισθήσῃ (?)· οἱ γὰρ μεθύοντες ἦρον τὰς μασχάλας καταμωκώμενοι. καὶ οἱ μνηστῆρες 'χεῖρας ἀνίσχοντες γέλῳ ἔκθανον'. Gregor. Cypr. Mosq. 1, 12 αἴρειν μασχάλην· ἀντὶ τοῦ εὐωχιάζειν (εὐωχεῖσθαι PL). εἴρηται δὲ ἀπὸ τῶν ἀγροικικῶς ὀρχουμένων. Poll. 6, 26 ἐπὶ δὲ τῶν μεθυόντων ἔλεγον τὸ μασχάλην αἴρειν, ὡς τοῦτο ἔθος ὂν τοῖς ἐν μέθῃ, διὸ καὶ Ὅμηρον προειπεῖν (sequitur Od. 18, 100). omissis eis quae nullius pretii essent ea congessi quae momentum facere viderentur: quibus comparatis constare videtur μασχάλην αἴρειν dici solitos esse eos qui post compotationem saltationi et omne genus lasciviae indulgerent. versum Meinekius fecit tetram. troch., possunt etiam trimetri esse ὡς ἄνω | κτλ. de Hesychii verbis cf. Meinek. V 23.

299

ὁ δὲ μετ' Εὐδήμου τρέχων
κώμυθα τὴν λοιπὴν ἔχει τῶν πρωίων.

Schol. Theocr. 4, 18 κώμυς, ἡ δέσμη ἤτοι τὸ δεσμάτιον. Κρατῖνος ὁ δὲ κτλ. Phot. κώμυθα· δέσμη χόρτου. in schol. Theocr.

editur εὐδήμου τρέχων κώμυθος τὴν λοιπὴν ἔχει τῷ στεφάνῳ. sed pro ultimis ἔχων τῶν πρώων Vat. 4. 5. nihil nisi λοιπὴν πρώων Vat. 3. πρώων i. e. πατρῴων. restituo igitur tetram. troch.

ὁ δὲ μετ' Εὐδήμου τρέχων κώμυθ' ὅσην λοιπὴν ἔχει
τῶν πατρῴων.

Eudemum autem existimo esse illum φαρμακοπώλην, a quo anulum magicum se emisse simulat homo iustus Aristoph. Plut. 884. cf. Theophr. H. plant. 9, 17, 2 Εὔδημος ὁ φαρμακοπώλης εὐδοκιμῶν σφόδρα κατὰ τὴν τέχνην. narrat igitur Cratinus nescio quem Eudemi per urbes Graeciae pedisequum rem familiarem totam perdidisse. κώμυθ' ὅσην i. e. τοσοῦτον ὅσον κώμυς ἐστίν. non plus igitur de patrimonio quam fasciculum reliquum habet.

300

πάλαι γὰρ αὐτὸ
λόγοισι προάγει Περικλέης, ἔργοισι δ' οὐδὲ κινεῖ.

Plutarchus Pericl. 13 τὸ δὲ μακρὸν τεῖχος, περὶ οὗ Σωκράτης ἀκοῦσαί φησιν αὐτὸς εἰσηγουμένου γνώμην Περικλέους, ἠργολάβησε Καλλικράτης· κωμῳδεῖ δὲ τὸ ἔργον Κρατῖνος ὡς βραδέως περαινόμενον κτλ. Mor. 351 a καί τοι καὶ τοῦτον (Periclem) ὡς βραδέως ἀνύοντα τοῖς ἔργοις ἐπισκώπτων Κρατῖνος, οὕτω πως λέγει περὶ τοῦ διὰ μέσου τείχους λόγοισι γὰρ αὐτὸ προάγει Περικλέης, ἔργοισι δ' οὐδὲ κινεῖ. λόγοισι Stephanus] λόγοις. προάγει Reiskius] προσάγει. cf. Plat. Gorg. 455e cum schol. 342 Bekker. Krueg. Stud. hist. phil. 167 sq. Wachsmuth. Athen. I 328—336.

301

γαυριῶσαι δ' ἀναμένουσιν ὧδ' ἐπηγλαϊσμέναι
μείρακες φαιδραὶ τράπεζαι τρισκελεῖς σφενδάμνιναι.

Athenaeus 2, 49a τράπεζαι ἐλεφαντόποδες, τῶν ἐπιθημάτων ἐκ τῆς καλουμένης σφενδάμνου πεποιημένων. Κρατῖνος κτλ. μείρακες Valck. Diatr. Eurip. 163] μεῖραξ C. Eustath. 1398, 20 Κρατῖνος . . . τράπεζαι τρισκελεῖς σφενδάμνιναι. ἀναμένουσιν i. e. *exspectant convivas.* τράπεζαι τρισκελεῖς quasi quoddam ὀξύμωρον, cum τράπεζα sit quattuor pedum. cf. Aristoph. fr. 530, 3. mensas adparatas pulchre cum puellis comparat. Plin. N. h. 16, 66 *acer . . . operum elegantia ac subtilitate citro secundum.* Hor. Sat. 2, 8, 10. ad Leges hoc fragmentum non magna cum probabilitate Bergkius referebat R. c. Att. 140. 1.

302

ὡς δὲ μαλακὸν καὶ τέρεν τὸ χρωτίδιον ἦν, ὦ θεοί·
καὶ γὰρ ἐβλίμαζον αὐτήν, ἡ δ' ἐφρόντιζ' οὐδὲ ἕν.

Etymol. m. 200, 37 *βλιμάζειν· τὸ τιτθολαβεῖν, ἤγουν ψηλαφᾶν τὰ στήθη καὶ τοὺς μαστοὺς καταλαμβάνειν τῇ ἀφῇ, καὶ ἅπτεσθαι τῶν ἀπορρήτων μελῶν τῶν γυναικείων καὶ διεγείρειν τὰς ἐπιθυμίας, ὥς φησι Κρατῖνος.* Crateti tribuit Zonaras 394 (*βλιμάζειν*). *ὡς* deest in Etym. *ἦν* add. Elmsl. Cens. Hec. Pors. 257 Lips. de verbo *βλιμάζειν* cf. Aristoph. Av. 530 cum interpr.

303

γλαῦκον οὐ πρὸς παντὸς ἀνδρός ἐστιν ἀρτῦσαι καλῶς.

Athenaeus 2, 68a *Κρατῖνος. ἀνδρός* addiderunt Casaubonus et Grotius Excerpt. 489. de *glauco* cf. Athen. 7, 295b — 296a. quanti sit aestimatus docet etiam Amphis fr. 22. notum est proverbium *οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθόν ἐσθ' ὁ πλοῦς.*

304

εὐπρόσωπος ἦσθ' ὀνόματος οὐδὲν ἐπὶ χεῖρας φέρων.

Eustathius 1430, 24 *ὅτε δὲ μέγα φᾶρος εἴπῃ, παροιμίαν ποιεῖ τὴν λέγουσαν ἐπὶ χεῖρας φέρειν ἤγουν ἔνδοξον εἶναι, ὡς ἀπὸ τῶν μεγάλα φασὶν ἱμάτια ἐχόντων ὡς μείζονα εἶναι τὴν ἐπιβολήν. Κρατῖνος· εὐπρόσωπος — φέρων, ἤγουν οὐ μέγα ἔχων ὄνομα, οὐδὲ φαινόμενος κατὰ τοὺς οὕτω μεγαλοείμονας ὡς καὶ ἐπὶ χειρῶν φέρειν τὰς ᾤας.* Grotius Excerpt. 495 genetivum ut videtur ab *εὐπρόσωπος* suspendens interpretatur '*nomine es speciosus, atqui nihil est quod manibus feras*'. perperam: nam neque *εὐπρόσωπος* cum genetivo coniungitur neque *ἐπὶ χεῖρας φέρειν* idem est atque *ἐν χερσὶν ἔχειν.* proprie significat *tam amplis uti vestibus, ut orae etiam super manus defluant;* figurata oratione *abundantiam* alicuius rei *non sine adrogantia ostentare.* itaque Cratinus aliquem laudat, *qui nominis splendore non ad inanem iactationem abutatur. εὐπρόσωπος* in *εὐπρόσοιστος* (cf. quae dixi Veri sim. 181) mutandum et fragmentum ad Cimonem vel similem eius virum referendum censeo. *adfabilis eras*, inquit, *et famae nominisque dissimulator.*

305

καὶ Πολυμνήστει' ἀείδει μουσικήν τε μανθάνει.

Schol. Aristoph. Eq. 1287 *μέλη Πολυμνήστου Κολοφωνίου. κιθαρῳδὸς ἦν οὗτος. Κρατῖνος.* versum commemorat etiam Suidas *Πολύμνηστος.* Photius *Πολύμνηστει' ἀείδειν· γένος τι μελοποιίας. Κολοφώνιος δὲ ὁ Πολύμνηστος. Polymnestus* iste lascivorum carminum auctor, longe diversus a clarissimo illo Colophonio, quocum saepe confunditur, quis fuerit ignoramus. cum autem qui lascivis canticis gau-

det, veram musicam vix umquam discat, Bergkio adsentior in Poet. lyr. ed. altera 1083 scribenti *μουσικήν τ' Οἰωνίχου | μανθάνει*, quod propter perpetuam Oeonichi cum Polymnesto societatem (cf. Hesych. *Οἰωνίχου μουσεῖον*) admodum probabile videtur. praeterea Herwerdenus Nov. add. crit. 3, quod forma verbi *ἀείδειν* comici non utantur nisi in choricis (Eupol. 139, 2) et imitationibus Homericis (Menand. Plut. Mor. 19a), *Πολυμνήστεια δ' ᾄδει*.

306

ἀφυπνίζεσθαι χρὴ πάντα θεατήν,
ἀπὸ μὲν βλεφάρων αὐθημερινῶν ποιητῶν λῆρον ἀφέντα.

Aristides 49, 386 extr. *ἐν ἀρχῇ τοῦ δράματος μεγαλαυχούμενος ὡς προφήτης προαγορεύει τοιάδε· ἀφυπνίζεσθαι . . . ἀφέντα. ὥσπερ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μέλλων ἅπαντας σοφούς τε καὶ σπουδαίους ποιήσειν. διδάξας δὲ τοὺς Χείρωνας προσπαραγράφει πάλιν αὖ μάλα ὑπερηφάνως ἐπὶ τελευτῆς* (sequitur fr. 237). *χρὴ*] *νῦν δὴ χρὴ* Dindorf. *καὶ δὴ χρὴ* Hanovius Exerc. crit. 65. et quidni *δ' ἤδη* vel alia? *αὐθημερινῶν*] *ἀπό θ' ἡμερινῶν Γ. αὐθημερινὸν* Bergk. R. c. Att. 223. cf. Pherecr. 191. *αὐθημερινούς*, i. e. 'eodem die et nascentes subito et rursus pereuntes, *τοὺς ἐφημερινούς*'. Reisk. Cobetum hos versus ad Chirones referentem redarguit Meinek. V 22. 3.

307

τίς δὲ σύ; κομψός τις ἔροιτο θεατής.
ὑπολεπτολόγος, γνωμοδιώκτης, εὐριπιδαριστοφανίζων.

Schol. Platon. Bekk. 330 *Ἀριστοφάνης . . . ἐκωμῳδεῖτο ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν. Κρατῖνος κτλ.* Porsonus Miscell. 268 *τίς δὲ σὺ κομψός; πᾶς ἄν τις ἔροιτο θεατής. γνωμοδιώκτης* Schneiderus in Lexico gr.] *γνωμιδιώκτης*. prioris versus emendandi multae possunt excogitari rationes, nulla tamen satis certa. cum voce *γνωμοδιώκτης* Fritzschius Quaest. Arist. 292 comparavit *κολλοποδιώκτας* (Schol. Aristoph. Nub. 348 et *κνισοδιώκτην* Batrach. 234. — ad Pytinen propter Schol. Aristoph. Eq. 531 (cf. fr. 198) referunt praeter Fritzschium Runkelius et Bergk. R. c. Att. 205.

308

Schol. Aristoph. Pac. 741 *ἐπεπόλαζε γὰρ τότε ταῦτα, Ἡρακλῆς πεινῶν, καὶ Διόνυσος δειλός, καὶ μοιχὸς Ζεύς, ὥστε καὶ αὐτοὺς δοκεῖν ἄχθεσθαι. Κρατῖνος· ὑπὸ δὲ Ἡρακλέους πεινῶντος ἄγει καὶ σκώπτοντος ταῦτα οὐ βοιωτόν ἐστι.* sic cod. R. *ἄγε ταυ' καὶ σκώπτοντος* V. *ἄγειν ταῦτα καὶ σκώπτοντος* Ald. *βιωτόν* V pro *βοιωτόν*. pro *οὐ βοιωτόν* Porsonus *συοβοιωτῶν* Eurip.

Hec. praef. LVIII (cf. fr. 310). Bergkius R. c. Att. 287 *ὑπὸ δ' Ἡρ. π. ἀεὶ | ταὐτὰ καὶ σκώπτοντος οὐ βιωτόν ἐστι.* at talis sententia non melico carmini sed unice parabasi quae proprie dicitur convenit. cf. Aristoph. Pac. 739 sq. eadem de causa neque ea sola reicienda est Wilamowitzii coniectura (Obs. crit. 38). Hercules non *σκώπτει*, sed *σκώπτεται*: itaque verba *καὶ σκώπτοντος* ex Aristoph. Pac. 740 inlata videntur pro rariore *λαιμάττειν* (Eccl. 1176), quod posteriores *λαιμώττειν* scribere solebant (Nicand. Ther. 470. Alex. 352). scribendum igitur censeo

ὑπὸ δ' Ἡρακλέους πεινῶντος ἀεὶ λαιμάττοντός τε [βόεια]
οὐκ ἔστι βιωτὸν ἔτ' [ἀνθρώποις]·

ceterum ex hoc fragmento constat talia argumenta non mediae comoediae propria fuisse.

309

κἀνθένδ' ἐπὶ τέρματα γῆς ἥξεις καὶ Κισθήνης ὄρος ὄψει.

Harpocr. *Κισθήνη*· ... *ὄρος τῆς Θρᾴκης. Κρατῖνος κτλ. ἐπὶ τὰ τ.* B. *κισθήνην* A. Phot. *Κισθήνη*· *ὄρος τῆς Θρᾴκης.* a monte Cisthene discernendum est oppidum Mysiae (Isocr. 4, 153). cf. G. Herm. Aesch. II 124 sq. ceterum non Thraciae, sed Libyae vel Aethiopiae mons videtur fuisse. Cisthenen *πόλιν Λιβύης ἢ Αἰθιοπίας* dicunt schol. Aesch. Prom. 793. ad Seriphios satis probabiliter propter fr. 207. 8 Meinekius, ad Deliades Bergk. R. c. Att. 44 referebat.

310

οὗτοι δ' εἰσὶν συοβοιωτοί, κρουπεζοφόρον γένος ἀνδρῶν.

Schol. Pindari Olymp. 6, 152 *ὅτι διὰ τὴν ἀγροικίαν καὶ τὴν ἀναγωγίαν τὸ παλαιὸν οἱ Βοιωτοὶ ὕες ἐκαλοῦντο, καθάπερ ... Κρατῖνος κτλ. συοβοιωτοί, κρουπεζοφόρον* Porsonus Eurip. Hec. praef. LVII] *συοβοιωτικὸν πεζοφόρον.* Pollux 7, 87 *κρουπεζοφόρους δ' εἶπε τοὺς Βοιωτοὺς Κρατῖνος.* Phot. *συοβοιωτοί*· *σύες γὰρ ἐκαλοῦντο οἱ παλαιοὶ Βοιωτοί.* cf. quae adnotavimus ad Cephisodori *Ὑν.* Phot. *κρουπέζαι*· *ξύλινα ὑποδήματα, ἐν οἷς τὰς ἐλαίας ἐπάτουν.*

311

κοκκύζειν τὸν ἀλεκτρυόν' οὐκ ἀνέχονται.

Eustathius 1479, 43 *παρὰ Κρατίνῳ.* Bekker. Anecd. 21, 24 *το δὲ κοκκύζειν κωμικοὶ λέγουσιν.* ex versu anapaestico excerptum videtur. cum *ἀνέχεσθαι* cum infinitivo coniunctum rarissimum sit (Eurip. Phoen. 547, ubi tamen *ἀπονεμεῖς* pro *ἀπονέμειν* Porsonus 557 ed. suae), forsitan scribendum sit *κοκκύζοντα δ' ἀλ.* de Sybaritis loqui videtur. Athen. 12, 518 c d. de cognatione verbi *κοκκύζειν* cum nomine galli apud multas gentes disputat Hehn. Kulturpfl. 523.

312

λόγος τις ὑπῆλθ' ἡμᾶς ἀμαθὴς συοβαύβαλος.

Eustathius 1761, 28 ex Aristophane Byzantio: *καὶ βαυβᾶν τὸ κοιμᾶσθαι . . . ὅθεν καὶ παρὰ Κρατίνῳ τὸ λόγος κτλ. συοβαύβαλος* Meinek.] *συβαύβαλος*. Hesych. *συοβαύβαλοι· συῶν αὐλιστήρια*. Phot. *συοβαύβαλοι· ἐν οἷς οἱ σύες εὐνάζονται*. cf. Lob. Rhem. 11. cum *βαυβᾶν* sit *dormire*, *συοβαύβαλον* dici nihil potest, quod non aliquo modo ad *sues dormientes* vel ad *cubilia* eorum pertineat. quocirca *λόγος* non potest esse *συοβαύβαλος* (ut Meinekius subulcorum *carmina* interpretabatur). scribendum puto *φθόγγος τις ὑπῆλθ' ἡμᾶς ἀμαθὴς* (vel potius *ἀσαφὴς*) *συοβαύβαλος* – ⏑ ⏑ – ⏓. *ambiguus quidam sonus tamquam a suili necopinato ad aures nostras perlatus est.*

313

ταῖς ῥαφανῖσι δοκεῖ, τοῖς δ' ἄλλοις οὐ λαχάνοισιν.

Athenaeus 2, 56 e *ῥαφανίδες καὶ ἐκτεταμένως* (ῑ) *δὲ καὶ κατὰ συστολὴν* (ῐ) *λέγεται παρὰ Ἀττικοῖς. Κρατῖνος ταῖς ῥαφανῖσι κτλ.* Draco Straton. p. 80, 5 *ῥαφανίς· διφορεῖται τὸ ῑσ, Ἀττικῶς δὲ ἐκτείνει, ὡς παρὰ Κρατίνῳ ῥαφανῖσι δοκεῖ τοῖς ἄλλοις οὐ λαχάνοις*. Eustathius 1220, 55. *λαχάνοισιν* Meinekius] *λαχάνοις*. dativum adparet non pendere a *δοκεῖ*, sed a verbo quod aut in superioribus aut in proximis erat, veluti *χαίρειν* vel *ἥδεσθαι*.

314

ταυτὶ καὶ τολμᾷς σὺ λέγειν ῥοδοδάκτυλος οὖσα;

Athenaeus 13, 566 f *ταυτὶ καὶ τολμᾷς σὺ λέγειν, οὐ ῥοδοδάκτυλος οὖσα, κατὰ τὸν Κρατῖνον, ἀλλὰ κτλ. ταυτὶ* Dobr. Aristoph. Plut. 555] *ταύτῃ*. Auroram nescio quis adloquitur eodem opinor modo quo apud Aristoph. Av. 1243 sq. Irin Pithetaerus.

315

χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύβηλιν.

Hesych. *κύβηλις· τινὲς τὴν τυροκνῆστιν φασίν. ἔπαιξεν δὲ ὁ Κρατῖνος παρὰ τό 'χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν'* (Hom. Il. 14, 291). *θεοί* Musur.] *θεόν. κύβηλιν* Lob. Aglaoph. 863] *κύβινδιν. κύβηλις*, non *κυβηλίς* scribendum esse Lobeckius docet Pathol. prol. 110. idem Aglaoph. 863 '*κύβηλιν* substituit cetera retinens, quia *χαλκίς*' (apud Homerum avis) 'pro etymi ratione ut *ἀργυρίς*, *χρυσίς* vas vel instrumentum aeneum significare potest'. Lamponem significari propter fr. 62 censet Bergkius R. c. Att. 47. 8, qui quae praeterea de hoc fragmento disputat, ea consulto praetereo.

316

μισηταὶ δὲ γυναῖκες ὀλίσβοισιν χρήσονται.

Photius Suidas et Apostolius 13, 95. Etym. m. 588, 54. *μισητή· τὴν καταφερῆ μισητὴν ἔλεγον . . . καὶ ὁ Κρατῖνός που· μισηταὶ κτλ.* omisso auctoris nomine Hesychius *μισήτην*. Eustathius 1651 init. *ἄλλοι δὲ μισήτην, βαρυτόνως, πρὸς διαστολὴν τῆς ὀξυτονουμένης, τὴν κοινὴν καὶ ῥαδίαν, λέγοντες καὶ χρῆσιν αὐτῆς εἶναι παρὰ Κρατίνῳ.* Ammon. 94 *μισητή καὶ μισήτη διαφέρει . . , ὥς φησι Τρύφων . . . ἐὰν μὲν ὀξυτονήσωμεν, σημαίνει τὴν ἀξίαν μίσους . . . ἐὰν δὲ βαρυτονήσωμεν, τὴν καταφερῆ πρὸς συνουσίαν.* sed ea 'differentia ab Herodiano non accepta videtur'. Lentz. I 342, 27 adn. versus est oraculi comice ficti.

317

ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν, ὄφρα σε λιμὸς
ἐχθαίρῃ, Κοννᾶς δὲ πολυστέφανος νικήσει.

Schol. Aristoph. Eq. 534 et Suid. *Κοννᾶς Ὀλυμπιονίκης γενόμενος καὶ πολλάκις στεφανωθεὶς πενιχρὸς ἦν μηδὲν ἔχων ἀλλ' ἢ τὸν κότινον, ἐφ' οὗ Κρατῖνος εἶπεν ἔσθιε κτλ. πολυστέφανος] φιλοστέφανος* Suid. *νικήσει] σε φιλήσῃ* Suid. non scholia ex Suida, sed Suidam ex scholiis emendandum esse constat. quamquam neuter mea sententia quod poeta scripsit servavit. scribendum *πολυστέφανός* et quod unice huic epitheto convenit et facile in *σε νικήσῃ* mutari poterat *σ' ἀναδήσῃ*. *Connus*, de quo cf. Aristoph. Eq. 534 cum interpr. et cognomines Phrynichi et Amipsiae fabulae, semper esuriens edenti, ut ipse quoque cenae partem accipiat, de multis suis coronis unam offert. de verbo *ἀναδεῖν* cf. quod exemplum omnium instar est Plat. Symp. 212 e 213 a d e. Cratini versus parodia sunt Hesiodeorum Op. 299 *ἐργάζευ, Πέρση, δῖον γένος, ὄφρα σε λιμὸς ἐχθαίρῃ, φιλέῃ δέ σ' ἐυστέφανος Δημήτηρ.* ad Eunidas Bergkius R. c. Att. 71. 2, ad Archilochos Fritzschius Quaest. Arist. I 241 haec referebant, non magna cum probabilitate.

318

φαίνεσθαι χρυσῆν, κατ' ἀγροὺς δ' αὖθις αὖ μολυβδίνην.

Zonaras 1366 *οἱ Ἀττικοὶ μόλυβδον καὶ μολύβδινον· τὸ δὲ μολυβοῦν ἐσχάτως βάρβαρον . . . Κρατῖνος φαίνεσθαι κτλ.* versus est Eupolideus. verba *κατ' ἀγρούς* demonstrant antecessisse *ἐν μὲν τῇ πόλει* vel tale quid. *Hyperboli* lucernas, extrinsecus aureas, re vera plumbeas intellegebat Bergkius R. c. Att. 249. 50 conl. Schol. Aristoph. Nub. 1065. nec probabilior opinio Wilamowitzii Obs. crit. 32 sq. adn. 18. quod cum hoc fr. Meinekius coniunxit 453 ed. min., non Cratini, sed *ἀδέσποτον* est.

319

*πονηροὺς ἀνθρώπους * * **
πηνικίζων ἐξαπατᾷ.

Grammaticus ms. Hermann. Opusc. III 40 *οἱ παλαιότεροι κωμικοὶ πηνήκην καὶ πηνικίζειν ἔλεγον. Κρατῖνος πονηροὺς ἐξαπατᾷ. λέγεται δὲ πηνίκη ἡ ἐπίθετος κόμη.* Suidas *ἐπηνίκιζεν· ἐξηπάτα. οὕτως Κρατῖνος.* Zonar. 834. Fritzschius Fragm. v. Eupol. 21. 2 versus Eupolideos esse negat, sed quae ipse profert non sunt probabiliora. pro *πονηροὺς* scribendum videtur *πονηρῶς*, *ἐξαπατᾷ* expungendum utpote interpretationis causa additum. ceterum Suidae verba ad hoc fragmentum pertinere non necesse est.

320

τρίγλην δ' εἰ μὲν ἐδηδοκοίη τένθου τινὸς ἀνδρός.

Athen. 7, 305 b *Κρατῖνος. τρίγλην* ante Cobetum V. l.[2] 249. N. l. 147 Schweighaeuserus] *τρίγλη. ἐδηδοκοίη* Porson. Advers. 98] *ἐδηδόκοι ἤ. τένθου*] *'ν τένθου* Cobetus. at poterat sequi *ἐν δείπνῳ.* cf. tamen Eupol. 7. metrum idem est ac fragmenti 221, sed propterea hoc non continuo cum Bergkio R. c. Att. 217 ad Trophonium referendum.

321

χαῖρ' ὦ χρυσόκερως βαβάκτα κήλων,
Πάν, Πελασγικὸν Ἄργος ἐμβατεύων.

Etymol. m. 183, 45 *βαβάκτης· ὀρχηστής, λάλος, μανιώδης, βακχευτής. λέγεται δὲ ὁ Πάν. Κρατῖνος χαῖρε Πάν.* Hephaestio 10, 6 *τῶν δὲ τριμέτρων τὸ μὲν καταληκτικὸν τὸ μόνην τὴν πρώτην ἀντισπαστικὴν ἔχον, τὰς δὲ ἑξῆς ἄλλας ἰαμβικάς, Φαλαίκειον καλεῖται· οἷον χαῖρ' ὦ χρυσόκερως . . . ἐμβατεύων.* ubi schol. *τὸ δὲ χαῖρ' — κήλων Κρατίνου ἐστί. χαῖρ' ὦ χρυσόκερως* Hephaest.] *χαῖρε χρυσόκερω* Etym. *βαβάκτα*] *βαβάκτρα* Hephaestionis THDE marg. Hesych. *βαβάκτης· ὀρχηστής. ὑμνῳδός. μανιώδης. κραύγασος. ὅθεν καὶ Βάκχος.* similiter Bekker. Anecd. 223, 31. Etym. m. 510, 51 *κήλων λέγεται ὁ θερμὸς εἰς συνουσίαν.* Eustath. 1597, 28 *κήλων πεποίηται ἀπὸ τῶν ὀχευτῶν ὄνων.* Archil. 95 *ἡ δέ οἱ σάθη ὡσεί τ' ὄνου Πριηνέως κήλωνος ἐπλήμμυρεν. ἐμβατεύων*] Aesch. Pers. 449 *(νῆσος) ἣν ὁ φιλόχορος Πὰν ἐμβατεύει.* Eurip. fr. 697 N. *ὃς τε πέτρον Ἀρκάδων δυσχείμερον Πὰν ἐμβατεύεις.* cf. Soph. OC. 679. *Pelasgicum Argos* cum Dorvillio Vann. crit. 51 Bergkius R. c. Att. 97 clivum arcis Atheniensium dici censet conl. Paus. 1, 28, 3. 4. Herod. 6, 105. Eurip. Ion 938. Luc. Bis accus, 9. at praefractis illa rupibus horrida regio, in qua est Panos antrum, *Pelasgicum* quidem adpellabatur, *Argos* adpellari non poterat, ne per iocum quidem. scribendum est *Πελασγικὸν ἄγκος*, i. e. *convallem* Areo-

pagum inter et arcem sitam (Thucyd. 2, 17. Wachsmuth. Athen. I 291). quamquam Strabo 9, 401 *Πελασγοὺς . . , ἀφ' ὧν ἐκλήθη μέρος τι τῆς πόλεως Πελασγικόν· ᾤκησαν δὲ ὑπὸ τῷ Ὑμηττῷ.* de voce *ἄγκος* cf. praeter Hom. Il. 20, 490. Od. 4, 337 inprimis Eurip. Bacch. 1051 *ἄγκος ἀμφίκρημνον.* Herod. 6, 74. Xen. Anab. 4, 1, 7. Cyneg. 10, 19. Wilamowitzii commentum (Herm. XIIII 183) sciens praetermitto.

322

τῶν αἰσχρῶν φίλοισι χαριζόμενον πονηρὸν αὐτὸν εἶναι.

Aristid. 50 p. 565 Dind. *φησὶ Κρατῖνος τῶν αἰσχρῶν εἶναι φίλοισι — εἶναι. τῶν αἰσχρῶν] αἰσχρὸν δὲ* Meinekius (*'turpe est amicis ita gratificari, ut ipse pravus fias'*) metro eodem quod est fr. 238. 9, 'nisi quod anacrusi in illis usus est disyllaba'.

323

χαῖρ', ὦ μέγ' ἀχρειόγελως ὅμιλε ταῖς ἐπίβδαις,
τῆς ἡμετέρας σοφίας κριτὴς ἄριστε πάντων,
εὐδαίμον' ἔτικτέ σε μήτηρ ἰκρίων ψόφησις.

Hephaestio 15, 2 *οἱ δὲ μετ' αὐτὸν (Ἀρχίλοχον) τῇ μὲν τομῇ* (versus Archilochii asynarteti) *ἀδιαφόρως ἐχρήσαντο, ὥσπερ Κρατῖνος χαῖρ' ὦ κτλ. ἐνταῦθα γὰρ ὁμοίως τὸ τρίτον τέτμηται τοῖς Ἀρχιλοχείοις, τὰ δὲ πρὸ αὐτοῦ δύο, πρὸ συλλαβῆς. Κρατῖνος ἐν τοῖς τοιούτοις* E. Turn., unde *ἐν τοῖς Πλούτοις* Meinek. ad Archilochos rettulit Raspius Eup. *Δῆμ.* 108. 9, nulla necessitate. *μέγα χρειογέλως ὁμιλετὴς ἐπίβδαις* Turn. *ἀχραιόγελος ὅ μῖταῖς* Fl. *ὁμιλετεῖν* C. *ὁμῖλεταῖς* P. 3. *ἔκτισέ τε — ψόφησιν* Fl.

ἀχρειόγελως sumpsit ex Hom. Od. 18, 163 *ἀχρεῖον δ' ἐγέλασσε.* Bekker. Anecd. 475, 7 et Suid. *ἀχρειόγελως ἄνθρωπος·* (ὁ) *ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν. ὅμιλος* est spectatorum in theatro consessus. Herod. 1, 88 *ὁ πολλὸς ὅμιλος* (populi multitudo). *ἐπίβδαις* Schol. Pind. Pyth. 4, 249 *ἐπίβδαι κυρίως καλοῦνται αἱ ἑπόμεναι (ἐχόμεναι?) τῶν ἑορτῶν ἡμέραι, αἱ μεθέορτοι, . . . οἷον ἐπαγόμεναι τῇ ἑορτῇ.* Phot. *μεθέορτοι ἡμέραι· ἅς τινες ἐπίβδας· αἱ ταῖς ἑορταῖς ἐπαγόμεναι* (*repotia*). proprie quartum Apaturiorum diem *ἐπίβδαν* dici Hesychius tradit (*Ἀπατούρια*). cf. Ruhnken. Tim. 119. *ἴκρια* (cf. Bergk. R. c. Att. 11) non sunt tabulata illa quae olim ludorum diebus in foro subito exstruebantur, cf. Phot. *ἴκρια* — is enim mos Cratini aetate obsoleverat — sed sedes ipsius theatri, ut Aristoph. Thesm. 395. totius fragmenti sententia obscurissima est. ac Raspius quidem (114) Cratinum putat finxisse fabulam agi repotiis, Meinekius autem Cratini fabulam in comoediarum commissione tertium locum sortitam esse. at id Cratinus fabulam scribens scire nullo modo poterat. videtur *τῆς ἐπίβδας* scribendum

et genetivus artissime cum ὅμιλε coniungendus esse. quo facto spectatorum turbam ad ludos posterioris alicuius Dionysiorum diei confluentem *plebeculam repotiorum* dicit (*den Haufen des blauen Montags*). reprehensionem populi cum laude coniungit, ut Aristophanes in Nubium parabasi. v. 3 pro ψέφησις (ψόφησιν Fl.) ψόφοισιν scribendum arbitror: *ea te sorte mater peperit, ut strepitu theatrali laetareris.* de metro cf. fr. 57. 8.

324 a b c.

εὔιε κισσοχαῖτ' ἄναξ χαῖρ', ἔφασκ' Ἐκφαντίδης.

* * *

πάντα φορητά, πάντα τολμητὰ τῷδε τῷ χορῷ.

* * *

πλὴν Ξενίου νόμοισι καὶ Σχοινίωνος, ὦ Χάρων.

Hephaestio 15, 24 ἔστι γὰρ (τὸ καλούμενον Κρατίνειον) ἐκ χοριαμβικοῦ ἐπιμίκτου, τοῦ τὴν δευτέραν ἰαμβικὴν ἔχοντος, καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς· εὔιε — Χάρων. a. ἔφασκ' Ἐκφαντίδης Pauw] ἔφασκε Φαντίδης. c. Σχοινίωνος] χοινίωνος Fl. Χάρων E] Χάρον. quamquam Hephaestio horum versuum poetam non nominat, tamen cum de metro Cratineo et propria eius forma disputet, de Cratino auctore dubitari non potest. cf. Soping. Hesych. II 1334. Ecphantidis versus est fr. 3. manifestum est hos versus non cohaerere; attamen ex eadem parabasi videntur excerpti esse, exiguo intervallo secundum inter et tertium interposito. de *Xenio* vel *Xenia* non constat: Aristophanem propter peregrinam originem sic adpellari coniecit Bergkius R. c. Att. 116. *Schoenion* cognomen erat Calliae comico inditum, Cratini Aristophanisque aequali. Meinek. I 213. Suid. Καλλίας Ἀθηναῖος κωμικός, υἱὸς Μνησιμάχου, ὃς ἐπεκλήθη Σχοινίων διὰ τὸ σχοινοπλόκου εἶναι πατρός. de *Charone* Aristot. Rhet. 3, 17 ἐπειδὴ (ἐπίφθονον) περὶ ἄλλου (λέγειν) ἢ λοιδορίαν (ἔχει) ἢ ἀγροικίαν, ἕτερον χρὴ λέγοντα ποιεῖν . . . ὡς Ἀρχίλοχος ψέγει. ποιεῖ γὰρ τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρὸς . . . καὶ τὸν Χάρωνα τὸν τέκτονα ἐν τῷ ἰάμβῳ, οὗ ἡ ἀρχή· οὔ μοι τὰ Γύγεω. itaque probabiliter Bergkius 27 ad Archilochos hos versus rettulit. dicit autem Cratinus omnia subeunda, omnia audenda esse choro, ut victoriam reportet, ea tamen exceptione, ut neque Xeniae neque Schoenionis modis utatur. ad quam sententiam Charonis adsensum expetit ut ipse Archilochus.

325

αὐτομάτη δὲ φέρει τιθύμαλλον καὶ σφάκον πρὸς αὐτῷ
ἀσφάραγον κύτισόν τε· νάπαισι δ' ἀνθέρικος ἐνηβᾷ·
καὶ φλόμον ἄφθονον ὥστε παρεῖναι πᾶσι τοῖς ἀγροῖσιν.

Phrynichus Ecl. 110 *ἀσπάραγος· καὶ τοῦτο δυοῖν ἁμαρτήμασιν ἔχεται, ὅτι τε ἐν τῷ π καὶ οὐκ ἐν τῷ φ λέγεται, καὶ ὅτι ἴδιόν τι φυτόν ἐστιν ἄγριον ὁ ἀσφάραγος, καὶ οὐκ ἐν τοῖς ἡμέροις καταλεγόμενον. ὁ γοῦν Κρατῖνος ἐν ἄλλοις ἀγρίοις αὐτὸ καταλέγων φησὶν αὐτομάτη — τοῖς ἀγροῖσιν. ἅπαντα γὰρ τὰ καταλελεγμένα ἄγρια. οἱ δὲ νῦν τιθέασιν ἐπὶ παντὸς (λαχάνου) ἀμαθῶς.* Athen. 2, 62 e (Eustath. 899, 18) *Κρατῖνος δὲ διὰ τοῦ φ ἀσφάραγον ὀνομάζει.* 1. *καὶ* addidit Pauwius. *αὐτῷ* Hermannus] *αὐτό.* 2. *νάπαισιν* Hermannus] *ἐν ἅπασιν.* 3. *φλόμον* Pauwius] *φλόον. ἀγροῖσιν* Hermannus] *ἀγρίοις.* simillimum est Eupolidis fr. 14. ad Plutos hos versus rettulit Bergkius R. c. Att. 198. *παρεῖναι* hic ut *παρουσία* Cratet. 16 *abundantiam* significat. pro *πρὸς αὐτὸ* restituerem *πράσον τε*, si demonstrare possem etiam *πράσον* fuisse *τῶν ἀγρίων*.

326

Schol. Theocr. 9, 19 *εἰώθασι γὰρ ἔγκατα πλήσαντες καὶ ξηραίνοντες (ξηράναντες) ὀπτᾶν, εἶτα ἐσθίουσι ταῦτα, ἃ καὶ χόρια προσαγορεύουσι Κρατὶ νεοτρόφοιο γένας χόριά τ' ἐμβρύων τε πλήθη . . . χόρια δὲ καλοῦσι τοὺς ὑμένας, οὓς πληροῦσι τοῦ ἀμελχθέντος γάλακτος. νεοστέφοι* (*ει* 3) *γέννας* Vat. 3. 4. *κρατὶ νεοτρόφοιο γένας*] *Κρατῖνος Τροφωνίῳ* Hemsterhusius. *Κρατῖνος· ἀρνὸς εὐτρόφου κρέας* Toupius. *Κρατῖνος· νεοτρόφοιο γέννας* Meinekius. fortasse scribendum *Κρατῖνος· εὐτρεφεῖς ἀγέλας*, eaque verba ad Cyclopem, i. e. ad Ulixes fabulam referenda.

327

ἀλλὰ τάδ' ἔστ' ἀνεκτέον· καὶ γὰρ ἡνίκ' εὐθένει . . .

Zonaras 919 *εὐθενεῖν οἱ Ἀττικοί· οἱ δὲ Ἴωνες εὐθηνεῖν. Κρατῖνος κτλ. ἀνεκτέον — εὐθένει* Lob. Phryn. 466 Bergk. 27] *ἀνακτέον — εὐθενεῖ.* metrum est Cratineum. *τάδε* accus. est suspensus ab *ἀνεκτέον.*

328

Athenaeus 1, 7 f *περὶ Περικλέους φησὶν Ἀρχίλοχος ὁ Πάριος ποιητὴς ὡς ἀκλήτου ἐπεισπαίοντος εἰς τὰ συμπόσια, Μυκονίων δίκην* (cf. de his verbis Bergk. Archiloch. 103). *δοκοῦσι δ' οἱ Μυκόνιοι διὰ τὸ πένεσθαι καὶ λυπρὰν νῆσον οἰκεῖν ἐπὶ γλισχρότητι καὶ πλεονεξίᾳ διαβάλλεσθαι. τὸν γοῦν Ἰσχόμαχον Κρατῖνος Μυκόνιον καλεῖ· πῶς ἂν Ἰσχομάχου γεγονὼς Μυκονίου φιλόδωρος ἂν εἴης;* Eustath. 1828, 8. Phot. *Μυκώ(ό)νιος γείτων· αὕτη τάττεται κατὰ τῶν διαβεβλημένων ἐπὶ γλισχρότητι καὶ σμικροπρεπείᾳ. παρὰ τὴν σμικρότητα τῆς νήσου . . . καὶ εὐτέλειαν.* et *Μυκόνιον· τὸν γλίσχρον· πλεονέκται γὰρ ἐν μικροῖς οἱ Μυκόνιοι. ἢ διὰ τὸ λυπρὰν εἶναι τὴν Μύκονον.* similia paroemiographi. cf. etiam Bursian. Geogr. gr. II 148. 9. *Ischomachus*, qui septuaginta ta-

lentum patrimonium possidere credebatur, moriens duobus filiis non plus quam dena reliquit (Lys. 19, 46), ab adulatoribus ingenti pecunia spoliatus (Athen. 12, 537 c). Xenophonteus Ischomachus (in Oec.) ab hoc videtur diversus fuisse (Boeckh. Oec. Ath.[2] I 627). *Myconius* Ischomachus per iocum dicitur. *φιλόδωρος* hic est qui *libenter donat*, i. e. *liberalis*. verba Cratini multis modis temptata sunt. qua in re tenendum est nominis *Μύκονος* primam corripi. Meinekius *πῶς οὖν ἂν (καὶ πῶς ἂν) Ἰσχομάχου σὺ γεγονὼς Μυκονίου | φιλόδωρος [ἂν] εἴης*; Cobet Mnem. X 173 *πῶς ἄν τις Ἰσχομάχου γεγονὼς τοῦ Μυκονίου | φιλόδωρος εἴη*; N. l. 147 Meinekii coniecturam ut suam proposuit. cum ne de metro quidem constet, inter iambica fragmenta conlocare nolui.

329

Aelianus V. h. 2, 13 *εὐδοκίμει δ' οὖν αὐτῷ (Ἀριστοφάνει) τὸ δρᾶμα, καὶ γάρ τοι τὸ τοῦ Κρατίνου τοῦτο συνέβη εἴποτε ἄλλοτε καὶ τότε, τῷ θεάτρῳ νοσῆσαι τὰς φρένας.* Bekker. Anecd. p. 52, 28 *νοσεῖν τὰς φρένας· νοσεῖν τὸν νοῦν.* verba poetae non uno metro modoque restitui possunt; sed simplicissime opinor trim. iambico (*συνέβη*) **καὶ τῷ θεάτρῳ τότε νοσῆσαι τὰς φρένας.**

330

Athenaeus 2, 69 d *Κρατῖνος δέ φησι Φάωνος ἐρασθεῖσαν τὴν Ἀφροδίτην ἐν* **καλαῖς θριδακίναις** *αὐτὸν ἀποκρύψαι.*

331

Athenaeus 13, 596 b *Ἡρόδοτος δ' αὐτὴν (Δωρίχην) Ῥοδῶπιν καλεῖ, ἀγνοῶν ὅτι ἑτέρα τῆς Δωρίχης ἐστὶν αὕτη, ἡ καὶ τοὺς περιβοήτους ὀβελίσκους ἀναθεῖσα ἐν Δελφοῖς, ὧν μέμνηται Κρατῖνος διὰ τούτων.* cf. Herod. 2, 134. Plut. Mor. 400 f. *διὰ Πλούτων* pro *διὰ τούτων* Meinek. ed. min. VII conl. Athen. 13, 594 d. cf. etiam V 23.

332

Eustratius Aristot. Eth. Nicom. 65 b *ἀλλὰ καὶ Ἀρχίλοχος* (*Ἀριστοφάνης* Ruhnk. Vell. Paterc. 1, 5 p 20 conl. Aristoph. Av. 910 cum schol.) *καὶ Κρατῖνος* (*καὶ Ἀρχιλόχοις Κρατῖνος* Bergk. Archiloch. 152) *καὶ Καλλίμαχος ἐν τοῖς ἐπιγράμμασιν μαρτυροῦσι* (**Μαργίτην**) *εἶναι Ὁμήρου τὸ ποίημα.* 'Cratinus Homeri Margitem fortasse in Archilochis commemoraverat'. Meinek.

333

Schol. Luciani p. 186 Iacob. *ὁ μὲν Καλλίας οὗτος, ὡς Κρατῖνος Ἀρχιλόχοις φησίν, Ἱππονίκου υἱὸς ἦν, τὸν δῆμον Μελιτεύς,*

ὡς Ἀριστοφάνης Ὥραις, πλούσιος καὶ πασχητιῶν, καὶ ὑπὸ πορνιδίων διαφορούμενος καὶ κόλακας τρέφων. εἰς δὲ στιγματίαν αὐτὸν Κρατῖνος κωμῳδεῖ ὡς ἕνα τῶν κατάχρεων . . . κωμῳδεῖ δὲ αὐτὸν Κρατῖνος καὶ ὡς Φώκου γυναῖκα μοιχεύσαντα καὶ τρία τάλαντα δόντα εἰς τὸ μὴ κριθῆναι. *Calliam* Cimonis aequalem cum Callia eius nepote auctor scholii confundit. nam in Archilochis quidem, quae fabula acta est paullo post Ol. 82, 3, minor iste Callias, de cuius luxuria cf. quae dixi in praef. Aristoph. Ran. § 31. Av. 283. 5, mortuus post Ol. 102, 2, reprehendi non poterat. itaque quae de eo hic adferuntur ad alias Cratini fabulas pertinent. de *Phoco* nihil aliunde cognitum. nec de nomine constat, nam paullo post idem scholiasta ὁ Φωκίων οὗτος μοιχαλίδ' ἔσχε γυναῖκα, (ἐφ') ᾗ καὶ ἑάλω Καλλίας. cf. Meinek.

334

Schol. Aristoph. Vesp. 151 τὸν ὑπεκλυόμενον οἶνόν φασί τινες καπνίαν λέγεσθαι· ἐν δὲ τοῖς περὶ Κρατίνου διώρισται, ὅτι τὸν ἀπόθετον ἢ παλαιόν. διὸ καὶ Ἐκφαντίδην Καπνίαν καλοῦσι. *Ecphantidem* ludibrii causa Cratinus Καπνίαν adpellaverat. cf. Phot. Hesych. Suid. καπνίας. Diogenian. Vindob. 2, 99 et Append. prov. 3, 43 καπνίας ποιητής· ὁ μηδὲν λαμπρὸν γράφων. vel argumentum fabularum eius tenue vel dicendi genus obscurum et paullo molestius causam cognominis fuisse censet Naekius Choeril. 52. contra Lehrsio (Quaest. ep. 23) a vino καπνίᾳ, cui sive colore sive sapore sive temperamento Ecphantides similis esset, illud ductum videtur. cf. etiam Meinek. I 36.

335

Hesych. Χορίλα Ἐκφαντίδες· Κρατῖνος τὸν Ἐκφάντιδος οὕτως εἶπεν, αὐτὸν τὸν Χορίλλον. Meinekius: Χοιριλεκφαντίδης· Κρατῖνος τὸν Ἐκφαντίδην οὕτως εἶπεν, διὰ τὸν Χοιρίλον. recte sine dubio, nisi quod Cobetus Mnem. nov. III 294 extrema ita potius emendavit: διὰ τὸ τὸν Χοιρίλον (συμποιεῖν αὐτῷ τὰς κωμῳδίας). Hesych. ἐκκεχοιριλωμένη· οὐ Χοιρίλου οὖσα· Ἐκφαντίδῃ γὰρ τῷ κωμικῷ (ut Euripidi Mnesilochus) Χοιρίλος θεράπων ἦν, ὃς συνεποιεῖτο (Cob. συνεποίει αὐτῷ τὰς) κωμῳδίας. id. ἐγκεχοιριλωμένην· λεπράν. videtur polliceri poeta in sua comoedia nihil fore commune cum Choerilo et Ecphantide. cf. Naekius et Bergk. R. c. Att. 256.

336

Hesych. Σκυθικός· Κρατῖνος σκυθικὸν ἔφη τὸν Ἱππόνικον διὰ τὸ πυρρὸν εἶναι. καὶ ᾧ ξανθίζονται αἱ γυναῖκες καὶ βάπτουσι τὰ ἔρια. Schol. Theocr. 2, 88 θάψος γάρ ἐστι ξύλον τι, ὃ καλεῖται

. . . *Σκυθικὸν ξύλον* . . . *τούτῳ δὲ* . . . *τὰς τρίχας ξανθίζουσι.* cf. Eupol. 19. a Scythis deos capillis rubris fingi dicebat Xenophanes.

337

Eustathius 1669, 46 *τὸν μωρὸν οἴδαμεν σάνναν καλεῖσθαι ὡς ἀπό τινος κυρίου ὀνόματος. καὶ παράγεται Κρατῖνος κωμῳδῶν τοιοῦτον τὸν Θεοδοτίδην σάνναν.* cf. etiam 777, 61. 1761, 21. Phot. *σάνναν· τὸν μωρόν· οὕτως Κρατῖνος.* Cramer. Anecd. Par. III 242, 32 *σάννας ὁ μωρὸς παρὰ Κρατίνῳ.* *Theodotidem* Nicostrati patrem (Plat. Apol. 33 e, ubi codices variant) Meinekius indicari censet.

338

Hesych. *Κορσάτης τράγος, παρὰ Κρατίνῳ. Δίδυμος ἤκουεν ἀπὸ τῆς κόρσης* (i. e. *a barba*). *Κόρσαι γὰρ τῆς Κιλικίας. Κορσάτης* Salmasius] *κόρσακις.* post *κόρσης* Meinekio excidisse videtur, *ἄλλοι δὲ Κιλίκιος.* Lobeck. Pathol. prol. 314 'Xenophon memorat Ciliciae flumen *Κέρσος* vel *Κάρσος.* ab hoc *Corso* (sic enim scribendum videtur) denominatam arbitror urbem Corsam et hircos *Κορσατεῖς* vel *Κορσάτας,* ut a *Πῖσα Πισάτης,* similes Cinyphiis ab amne Cinyphe adpellatis. nam *Κιλίκιοι τράγοι* praecipue dicuntur *οἱ δασεῖς.* Suid. hinc dubitatio nata, utrum nomen illud *barbatum* significet ab appellativo (*κόρση*) derivatum an *Cilicium.*' cf. Phot. *Κιλίκιοι τράγοι.* Gregor. Cypr. 2, 80. Diogen. 5, 54. Columella praef. 1, 20.

339

Bekker. Anecd. 354, 25 *αἰγείρου θέα καὶ ἡ παρ' αἴγειρον θέα· Ἀθήνησιν αἴγειρος ἦν, ἧς πλησίον τὰ ἴκρια ἐπήγνυντο εἰς τὴν θέαν πρὸ τοῦ θέατρον γενέσθαι. οὕτω Κρατῖνος.* cf. Phot. *θέαν παρ' αἴγειρον.* Hesych. *παρ' αἰγείρου θέα.* prope tabulata illa quae sive in foro sive in Lenaeo ad ludos spectandos exstructa erant priusquam theatrum magnum aedificatum esset, populi erant consitae, a quibus qui non haberent unde sedem emerent videntur spectavisse. Bergk. R. c. Att. 262 sq. Wachsmuth Athen. I 510 sq.

340

Schol. Aristoph. Eq. 407 *τοῦτον δὲ* (*τὸν Ἰουλίου*) *ὁ Κρατῖνος πυροπίπην λέγει, τουτέστι τὸν φύλακα τοῦ σίτου, ὡς εἰς τὸ Πρυτανεῖον παρέχοντα ἄρτους. πυροπίπην* cod. Taur. Peyron. Etym. m. 999] *πυρροπίπην. πυρροπ.* etiam Eustathius 380, 12. 679, 39. 851, 56. nomen *Ἰουλίου* admodum dubium, Cratini fragmentum obscurum. cf. Aristoph. Eq. 407 cum interpr.

341

Schol. Aristoph. Thesm. 940 *πρὸς σανίσιν ἐδεσμεύοντο πολ-*

λάκις, ὡς καὶ Κρατῖνος δηλοῖ. cf. Fritzsch. Aristoph. Thesm. p. 360. Alexid. 217, 10.

342

ἀπορεῖν καὶ σφακελίζειν τῷ δεινῷ

τὸ μὲν σφακελίζειν φλεγμαίνειν ἐστὶ καὶ διὰ τοῦτο σπᾶσθαι. Κρατῖνος Bekk. Anecd. 433, 21 et Suidas. *δεινῷ*] *δίνῳ* Bergkius R. c. Att. 258. 'ut Cratinus de *vertigine* locutus sit.'

343

ἄνθρωπος λυπησίλογος

σημαίνει δὲ ὁ λυπῶν διὰ τοῦ λέγειν τοὺς πέλας. Κρατῖνος. Bekker. Anecd. 404, 12 et Suidas.

344

Athenaeus 15, 676 f *δεῖξαι οὐκ ἔχεις ὅτι διαλελυμένως τις εἴρηκε ῥόδων στέφανον καὶ ἴων στέφανον· τὸ γὰρ παρὰ Κρατίνῳ κατὰ παιδιὰν εἴρηται ναρκισσίνους ὀλίσκους.* Casaubonus *ναρκίσσου στεφανίσκους*, Schweighaeuserus *ὀλίσβους*, Meinekius *Ναρκίσσου ὀλίσβους*, 'ut non de flore, sed de nescio quo Narcisso, fortasse de mythico illo Thespiensi loqui putandus sit'. Analect. Athen. 327. at quid viro cum *ὀλίσβῳ*? mihi neque de Cratino neque de Athenaei verbis constat.

345

Athen. 1, 23 b *ὅτι τὸ ἀναπίπτειν κυρίως ἐπὶ ψυχῆς ἐστιν, οἷον ἀθυμεῖν ὀλιγωρεῖν . . . Κρατῖνος δ' ἐπὶ ἐρετῶν χρᾶται τῇ λέξει ῥοθίαζε κἀνάπιπτε.* Eustath. 1641, 8 *ῥοθιάζει καὶ ἀναπίπτει.* Suidas *ἀναπίπτειν· Κρατῖνος ἐπὶ τῶν ἐρετῶν κέχρηται τῇ λέξει ἐρεσσόντων καὶ ἀνακλινομένων.* Xen. Oec. 8, 8 (*οἱ ἐρέται*) *ἐν τάξει μὲν κάθηνται, ἐν τάξει δὲ προνεύουσιν, ἐν τάξει δ' ἀναπίπτουσιν.* figurate intellegit Meinekius, ut Aristoph. Eq. 761. 'admonetur cuicumque illa dicuntur ut fortiter adversarium adoriatur.' quod non omnino necessarium videtur.

346

εὐιπποτάτη Μαραθών

Porphyr. Hom. quaest. 8 *πολλὰ* (*οἱ Ἴωνες*) *τῶν ὀνομάτων χαίρουσι θηλυκῶς ἐκφέροντες, οἷον τήν τε λίθον καὶ . . . τὴν μαραθῶνα. Κρατῖνος.* indicavit Nauckius A. L. Z. 1847, 475.

347

Λέρνη θεατῶν

ἀντὶ τοῦ κακῶν θέατρον. Κρατῖνος. Phot. — Suid. *Λ. θ.· θέατρον.*

Κρατῖνος. Hesych. *Λέρνη θεατῶν· παροιμία τίς ἐστιν Ἀργολικὴ Λέρνη κακῶν ... τὰ γὰρ ἀποκαθάρματα εἰς τοῦτο τὸ χωρίον ἐνέβαλλον. Λέρνην οὖν θεατῶν ἔφη ὁ Κρατῖνος τὸ θέατρον διὰ τὸ σύμμικτον εἶναι καὶ παντοδαπὸν ὄχλον ἔχειν.* *spectatorum conluviem* eam fortasse spectatorum partem dicebat, quae aemulo prae se favisset.

348

Phot. et Suidas *Ὄνου πόκαι· ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν Ἀττικῶν, ὥσπερ αἱ τοιαῦται, πλίνθον πλύνειν, ἀσκὸν τίλλειν, χύτραν ποικίλλειν, εἰς κοπρῶνα θυμιᾶν. Ἀρίσταρχος δὲ διὰ τὸ Κρατῖνον ὑποθέσθαι ἐν Ἅιδου σχοινίον πλέκοντα, ὄνον δὲ τὸ πλεκόμενον ἀπεσθίοντα.* Photii ipsius verba extrema docent a Cratino potius *Ὄκνου πλοκάς* fuisse commemoratas. cf. Aristoph. Ran. 186 cum interpr.

349

Suidas *Ναύσων Ναυκράτη· ἐπὶ τῶν ὁμοίως ἀποδιδόντων ἀλλήλοις. ὀνοματοποίησις δὲ τὸ Ναύσων, ὡς τὸ ἀγαθῶν ἀγαθίδες καὶ λευκότερος Λεύκωνος.* Cratini esse docet Hesych. *Ναύσων· Κρατῖνος ὄνομα ἐποίησε τὸ Ναύσων παρὰ τὴν ναῦν καὶ τὸ κρατεῖν. πολλὰ δέ ἐστι τοιαῦτα, καὶ ἀγαθῶν* (adde *ἀγαθῖδες*) *καὶ λευκότερος Λεύκωνος.* cf. Leutsch. Append. Prov. 4, 1. cf. *Ναυφάντης τῆς Ναύσωνος* Aristoph. Eq. 1309.

350

Photius *σπιθαμή· τὸ ἀπὸ τοῦ μεγάλου δακτύλου ἐπὶ τὸν μικρόν· τὸ δ' ἀπὸ τοῦ λιχανοῦ λιχάς· τὴν δὲ σπιθαμὴν τινὲς καὶ δόχμην καλοῦσιν. οὕτως Κρατῖνος.* Bergkius R. c. Att. 264 confert Eustath. 1291, 45 *περὶ ἧς δόχμης Αἴλιος Διονύσιός φησιν οὕτως· δόχμη τὸ τετραδάκτυλον. Ἀρίσταρχος δὲ ὀξύνει, ὡς δηλοῖ ὁ κωμικὸς ἐν τῷ οὗτοι δ' ἀφεστήκασι πλεῖν ἢ δύο δοχμά. ἐν μέντοι φησὶ τοῖς ἀκριβεστέροις ἀντιγράφοις ὀξεῖα ἐπίκειται τῇ πρώτῃ συλλαβῇ κατὰ τὸ λόχμη.* atque hunc ipsum versum Cratini esse arbitratur. cf. Aristoph. Eq. 318.

351

Phot. et Suidas *ὕπουλα γόνατα· καὶ ὕπουλον πόδα· καὶ ὕπουλον χεῖρα· καὶ σῶμα τὸ φλεγμαῖνον διά τινας πληγὰς καὶ ἐγγὺς τοῦ ἀφίστασθαι ὄν. Κρατῖνος* (*κρτ.* Phot.). dixit igitur Cratinus *ὕπουλον σῶμα.*

352

Ψύρα τὸν Διόνυσον ἄγοντες

Phot. *ἡ παροιμία παρὰ Κρατίνῳ· τὰ δὲ Ψύρα νησίδιον ἔρημον*

πλησίον Χίου· λέλεκται δὲ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων. Stephanus Byz. Ψύρα· λαμβάνεται δὲ τὸ ὄνομα (Psyra) ἐπὶ εὐτελείᾳ, διὰ τὸ εὐτελεστάτην εἶναι τὴν νῆσον. Κρατῖνος· Ψύρα τὸν Διόνυσον ἄγοντες. Append. prov. 5, 39 (Leutsch) Ψύρα τὸν Διόνυσον . . . εἴρηται ἐπὶ τῶν ἐν συμποσίῳ κατακειμένων καὶ μὴ πινόντων. cf. Greg. Cypr. Leid. 3, 40. atque ea demum vera interpretatio est. reliqui enim de Psyris magis quam de proverbii significatione disputant. cf. fr. 112. exitus videtur esse tetr. anap.

353

στημονίας κικίννους

Κρατῖνος εἶπε τοὺς στήμονι ὁμοίους ὑπ' ἰσχνότητος. Pollux 2, 28. Hesych. στημονίας κικίννους· τοῖς στήμοσιν ὁμοίους.

354

Pollux 2, 78 τὸ ταύτην (κόρυζαν) ἀφαιρεῖν, ἀπομύττειν. τὸ δὲ ἀπεμύττετο ὕλιζε τὰς ῥῖνας ἔφη Κρατῖνος. vulgo ὑλίζεσθαι. cod. Iung. ὕλιζε. alius apud Cram. An. Ox. II Praef. IV ἔλυζε i. e. ἔκλυζε, ut recte Cramerus. ὕλιζε ab ὕλη, quae est *faex*.

355

ἀνελκταῖς ὀφρύσι σεμνόν

Ἀττικῶς αὐτὸ καὶ σεμνῶς Κρατῖνος εἶπεν. Bekker. Anecd. 3, 25. Periclis ἀγελασίαν risisse videtur Meinekio. fort. ex tetr. anap.

356

ἀναπηδᾶν ἐν δήμῳ

Κρατῖνος ἐπί τινος ἀκόσμως ἐν ταῖς ἐκκλησίαις ἀναπηδῶντος. Bekker. Anecd. 7, 10. ἀναπηδᾶν ut ἀναστῆναι, sed violentius.

357

ἁπαλὸς εἴσπλους λιμένος

ὥσπερ Ὅμηρος τοὺς δυσόρμους λιμένας τραχεῖς λέγει, οὕτω Κρατῖνος ἐπὶ τῶν εὐόρμων τὸ ἁπαλὸν ἐκ τοῦ ἐναντίου εἶπεν. Bekker. Anecd. 13, 5.

358

ἐφιππάσασθαι λόγοις

οἷον καταδραμεῖν. Κρατῖνος. Bekker. Anecd. 39, 10.

359

μηδὲν ὑπέρφευ

Κρατῖνος ἐπὶ τοῦ μηδὲν ἄγαν. Bekker. Anecd. 51, 26. exitus versus anapaestici videtur esse Meinekio. *ὑπέρφευ* Aesch. Pers. 820. Ag. 377. Eurip. Herc. fur. 1321. Phoeniss. 550.

360

ἆρά γε, ὦ 'τάν, ἐθελήσετε;

Schol. Aristoph. Plut. 66 et Suid. *ὦ 'τάν· ὅτι οὐ πρὸς ἕνα μόνον τὸ ὦ 'τάν, ἀλλὰ καὶ πρὸς δύο. καὶ Κρατῖνος κτλ.* Suid. *ἐθελήσετον*. cum duali coniungitur *ὦ 'τάν* Aristoph. Plut. 66, cum plurali Timocl. 18. cf. Nicophont. 29. Ruhnken. Tim. 281. apud Platonem Gorg. 447 b ab Heindorfio stare malo quam ab Ruhnkenio. cf. Lob. Soph. Ai. 191.

361

σφάττε δαῖρε κόπτε.

Κρατῖνος. Schol. Aristoph. Av. 365. *δαῖρε* Lob. Buttm. II 148] *δεῖρε*.

362

Schol. Aristoph. Vesp. 352 *Κρατῖνος μύρμηκά φησι τὸν σέρφον. οἱ δὲ ζωύφιον κωνωπῶδες*. Dobraeus *Κράτης* (grammaticus) pro *Κρατῖνος*. sed nescio cur non apud Cratinum *σέρφος* ea significatione inveniri potuerit.

363

Schol. Hom. Iliad. 2, 56 *ἐνύπνιον ὀνοματικὸν ἐπίρρημα . . . ἔστι δὲ καὶ ὄνομα. δεῖ Κρατῖνος θράττει με τὸ ἐνύπνιον.* sic Par. Amst. *δεῖ κρατεῖν ὡς δραπετεύοντα τὸ ἐνύπνιον* BL. *κράτιλος θράττει μὲν ἐνύπνιον* V. *κρατῖνος, θράττει μὲν τὸ ἐνύπνιον* Cram. Anecd. Par. III 148, 6. Cratinus sine dubio dixerat *θράττει με τοὐνύπνιον*. cf. Pherecr. 39.

364

Schol. Hom. Iliad. 18, 521 *πισσοκονίας Ἄρην Κρατῖνος*. Hesychius *κωνῆσαι· καὶ πισσοκώνητον μόρον λέγουσιν ὅταν πίσσῃ καταχρισθέντες τινὲς ὑπὸ πυρὸς ἀποθάνωσιν. Αἰσχύλος Κρήσσαις καὶ Κρατῖνος. πισσοκωνία γὰρ ἡ νῦν πίσσα ᾗ χρίουσι τὰ παρίσθμια τῶν προβάτων.* et *πισσοκωνήτῳ πυρί· πίσσῃ χρίουσιν, ἵνα τάχιον κατακαίηται. κωνῆσαι δέ ἐστι τὸ περιενεγκεῖν.* Phot. *πισσοκωνήτῳ πυρί· τῷ εὐκαύτῳ· ἐπεὶ τὰ καιόμενα πίσσῃ χρίεται. Αἰσχύλος Κρήσσαις* (113 Nauck.). cf. Herod. II 109, 21 Lentz. recte igitur Bergkius R. c. Att. 255 *πισσοκωνίαν*, quo Martis cognomine usus est significans 'supplicium eorum qui pice obliti comburuntur'. si *πισσο-*

κωνίαν Cratinus scripsit, vel imitatus est vel leviter perstrinxit Aeschylum. ipse enim geminatis σσ in dialogo abstinet.

365

ἄξιος λαβεῖν ὁ μισθός

τοῦτο τῶν εἰς κάλλος ἠσκημένων σημαῖνον τοιοῦτό τι, ἄξιός ἐστιν ὁ μισθὸς ὥστε λαβεῖν αὐτόν. ἔστι δὲ παρὰ Κρατίνῳ. Suidas et similiter Bekker. Anecd. 412, 9. talis artificiosior orationis forma frequentissima apud Sophoclem. cf. Wunder. Antig. 437, ubi quae adferuntur exempla facillime augeri possunt.

366

ὥρκωσε καὶ ὁρκώτης δ' ἐγώ.

Phrynichus Epit. 360 *οὕτως Κρατῖνός φησι· μᾶλλον διὰ τοῦ ω λέγε ἢ διὰ τοῦ ι, ὥρκισεν.* non intellego quod Meinekius ed. min. VII proposuit *ὁρκωτὴς λέγω.* recte dicitur *ὁρκωτὸς λέγω,* non minus recte *ὁρκωτὴς δ' ἐγώ* i. e. *iusiurandum autem praeibo ego.*

367

ἀποκεῖσθαι πόρρω

ἀτιμάζεσθαι. οὕτω Κρατῖνος. Bekker. Anecd. 428, 17. Zonar.

368

Photius *Λακεδαίμονα· οἱ Ἀττικοὶ τὴν πόλιν αὐτὴν οὐ μόνον Σπάρτην ἀλλὰ καὶ Λακεδαίμονα καλοῦσιν· οὕτως Κρατῖνος.* Aelius Dionys. Eustath. 294, 41 *Κρατῖνος δὲ καὶ τὴν χώραν Σπάρτην οἶδεν, οὐ μόνον Λακεδαίμονα.*

369

ἀφήλικα γέροντα

Poll. 2, 17 *Φρύνιχος τὰς νέας μὲν ἀφήλικας λέγει. Φερεκράτης δὲ τὴν γεραιτέραν ἀφηλικεστάτην, ὡς καὶ Κρατῖνος ἀφ. γ.* Pherecr. 206. Phryn. 67. Bekker. Anecd. 3, 1 *ἀφηλικέστεροι· οἱ πρεσβύτεροι, ὡς ἄπο τῆς ἡλικίας ὄντες· ἡλικίαν γὰρ ἔλεγον καὶ τὴν νεότητα οἱ ἀρχαῖοι. οἱ μέντοι νέοι καὶ ἐπὶ τῶν νεωτέρων τάττουσι.* cf. Hesych. *ἀφηλικεστέραν.*

370

οἰναγωγὸν πλοῖον

παρὰ Κρατίνῳ. Poll. 6, 23. *ὁλκάδας οἰναγωγούς* Pherecr. 143, 4.

371

ἰσχάδα κοπτήν

Poll. 6, 81 *παλάσια, ἃ καὶ Κρατῖνος ἰσχάδα κοπτὴν καλεῖ.* 1, 242 *οἱ δὲ κωμῳδοὶ καὶ ἰσχάδα κοπτὴν λέγουσιν.*

372

ἐρίων πιναρῶν πόκον

Κρατῖνος. Poll. 7, 28.

373

ἅγιος

ὁ μιαρός, ἀπὸ τοῦ ἄγους, ὡς Κρατῖνος. Bekk. Anecd. 337, 16, Ruhnk. Tim. 13 *Κράτης* pro *Κρατῖνος.* Plaut. Mostell. 4, 2, 68 *servus sacerrimus* (Runkel).

374

ἀγροβόας ἀνήρ

ὁ ἀγροίκως φθεγγόμενος . . . οὕτω Κρατῖνος. Bekker. Anecd. 339, 30 et sine poetae nomine 17, 1. videtur dochmius esse, ut Aristoph. Ach. 570 *τειχομάχας ἀνήρ.*

375

ἀγυιεῖς

Harpocrat. *εἶεν δ' ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς οἱ πρὸ τῶν οἰκιῶν βωμοί, ὥς φασι Κρατῖνος καὶ Μένανδρος.*

376

Ἀδώνιον

Bekker. Anecd. 346, 1 *Ἀδώνιος· Φερεκράτης . . . λέγει τὴν αἰτιατικὴν Ἀδώνιον. οὕτω δὲ καὶ . . . Κρατῖνος.* Cobet. Mnem. V 202 *Ἀδῶνος* (*Ἄδωνος*) *Φερεκρ. . . . τὴν αἰτιατικὴν τὸν Ἀδῶνα* (*Ἄδωνα*). ac similiter iam Meinekius II 694. Hesych. *Ἄδωνα· Ἄδωνιν. Adoneum* Plaut. Menaechm. 1, 2, 35 (147); sed id nihil momenti esse ad Cratinum iam Meinekius animadvertit. cf. Pherecr. 198. Aristoph. fr. 737. Plat. 4.

377

αἴγλη

βόλος κυβευτικός. λαμπηδών. αὐγή. Κρατῖνος. Suidas. qua significatione Cratinus usus sit non liquet.

378

αἰγυπτιάζειν

τὸ πανουργεῖν καὶ κακοτροπεύεσθαι, ὡς ὁ κωμικός, φασί, Κρατῖνος δηλοῖ. Eustath. 1484, 28. fort. *φησὶ Κρατῖνος Δηλιάσιν.* cf. Aristoph. Thesm. 922 cum interpr.

379 a b

αἱμυλοπλόκος et *αἱμυλόφρων*

Bekker. Anecd. 363, 3 *Κρατῖνος δὲ αἱμυλόφρων εἶπε καὶ αἱμυλοπλόκος ὁ αὐτός.*

380

ἀλαζών

ὑπερήφανος, ψεύστης καὶ κομπαστής. οὕτω Κρατῖνος. Bekker. Anecd. 374, 19.

381

ἀμφίκαυστις

Eustathius 1446, 29 *ἡ ὡρίμη κριθή, ἣ καὶ ἀμφίκαυστις παρὰ Αἰλίῳ Διονυσίῳ, κωμικοὶ δὲ καὶ ἐπὶ γυναικείου μορίου φασί, Κρατῖνος δὲ τὴν ὀσφὺν οὕτως ἔφη.* Hesych. *καῦστις· ἡ ἔκφυσις τῶν σταχύων. πυροὶ ἁδρυνόμενοι, καὶ χόρτος. τὸ δὲ αὐτὸ καὶ ἀμφίκαυστις. καὶ ἐπώνυμον Δήμητρος. Κρατῖνος δὲ ἐπὶ τοῦ μορίου ἔταξεν αὐτό.* Etymol. m. 90, 33 *οἱ δὲ κωμικοὶ τὸ αἰδοῖον ἀμφίκαυτις* (sic) *ἀπὸ τοῦ περικεκαῦσθαι.* Meinekius contulit Aristoph. Pac. 965.

382

ἄναλτον

Ὅμηρος καὶ Κρατῖνος ἀντὶ τοῦ ἀπλήρωτον. Suid. Zonar. cf. Hom. Od. 17, 228. 18, 114. 364. Hesych. *ἄναλτον· ἀναυξές . . . ἢ ἀπλήρωτον.*

383

ἀνεξικώμη

ἧς οὐκ ἂν ἀνάσχοιτο ὅλη κώμη. παρὰ Κρατίνῳ. Hesych. itaque aut dixit *οὐκ ἀνεξικώμη* aut contra Hesychium probanda est Bergkii (R. c. Att. 255) interpretatio *quae vel totius pagi impetum sustineat.*

384

ἀνεπτερῶσθαι

τὴν ψυχήν· οἷον ἀνασεσοβῆσθαι Κρατῖνος. Suidas. cf. Bekker. Anecd. 398, 6. Aristoph. Av. 433. 1439—1449.

385

ἄνοργοι

ἀντὶ τοῦ ἄνευ ὀργῆς. Κρατῖνος. Bekker. Anecd. 406, 11. Suid.

386

ἀνταναγνῶναι

οὐκ ἀντιβάλλειν. οὕτω Κρατῖνος. Bekker. Anecd. 410, 31. '*exemplaria scripta recognoscere atque inter se conferre*' Lob. Phryn. 217 sq., quod recentiores scriptores *ἀντιβαλεῖν* dicebant. Hesych. *ἀνταναγνῶναι· ἀντιβάλλειν βιβλίον.*

387

ἀπαλλάξας

ἀντὶ τοῦ πείσας ἀποστῆναι. Κρατῖνος. Bekker. Anecd. 415, 1. Suid. Zonar.

388

ἀποκριπάμενος

